XIV. Quoniam autem agentes imitationem faciunt, primum quidem necessario tragœdiæ pars aliqua erit spectaculi dispositio; deinde melopœia et elocutio; quia cum his imitationem faciunt. Ac elocutionem dico ipsam metrorum compositionem; melopœiam vero, id quod omnem suam vim manifestam habet. Et quoniam imitatio est actionis cujusdam; agitur vero ab agentibus quibusdam, quos necesse *est* certæ qualitatis esse, et quoad mores, et *quoad* animi sententiam; (ex his enim etiam actiones dicimus esse certæ qualitatis;) a natura constitutæ sunt duæ actionum causæ, sententia animi, et mores; ac secundum has et scopum attingunt omnes et a scopo aberrant. Est autem actionis quidem imitatio fabula. Di-

γὰρ μῦθον τοῦτον, τὴν σύνθεσιν τῶν πραγμάτων· τὰ δὲ ἤθη, καθ' [k] ἃ ποιούς τινας εἶναι φαμὲν τοὺς πράττοντας· διάνοιαν δὲ, ἐν ὅσοις λέγοντες [l] ἀποδεικνύουσί τι, ἢ καὶ ἀποφαίνονται γνώμην. Ἀνάγκη οὖν πάσης τραγῳδίας μέρη εἶναι ἓξ, [m] καθ' ἃ ποιά τις ἐστὶν ἡ τραγῳδία. Ταῦτα δ' ἐστὶ, μῦθος, καὶ ἤθη, καὶ λέξις, καὶ διάνοια, καὶ ὄψις, καὶ μελοποιΐα. Οἷς μὲν γὰρ μιμοῦνται, δύο μέρη ἐστίν· ὡς δὲ μιμοῦνται, ἕν· ἃ δὲ μιμοῦνται, τρία· καὶ παρὰ ταῦτα οὐδέν.

ιέ. Τούτοις μὲν οὖν οὐκ ὀλίγοι αὐτῶν, ὡς εἰπεῖν, [n] κέχρηνται τοῖς εἴδεσι· καὶ γὰρ [o] ὄψιν ἔχει πᾶν, καὶ ἦθος, καὶ μῦθον, καὶ λέξιν, καὶ μέλος, καὶ διάνοιαν ὡσαύτως. Μέγιστον δὲ τούτων ἐστὶν ἡ τῶν πραγμάτων σύστασις. Ἡ γὰρ τραγῳδία μίμησίς ἐστιν οὐκ ἀνθρώπων, ἀλλὰ

[k] V. L. ὁποίους. PP. 2038. 2938. ὃ ποιούς. [l] P. 2938. ἀποδεικνύασι. [m] V. καθ' ὁποῖα. L. PP. 1741. 2938. καθὸ ποιά. [n] V. κέχρηται. [o] V. L. ὄψις. PP. 2040. 2938. ὄψεις.

co enim fabulam hanc, eorum quæ aguntur compositionem; mores vero, secundum quos certæ qualitatis esse dicimus eos qui agunt; at sententiam animi, ea omnia in quibus loquentes demonstrant aliquid, vel etiam opinionem enunciant. Necesse igitur *est* omnis tragœdiæ partes esse sex, secundum quas res certæ qualitatis est tragœdia; hæ autem sunt, fabula, et mores, et elocutio, et sententia, et spectaculi apparatus, et melopoeia. Ea enim quibus imitantur, partes sunt duæ; id autem, quomodo imitantur, una; ea vero quæ imitantur, tres: et præter has *alia* nulla.

XV. His igitur non pauci ex poetis (ut ita dicam) usi sunt formis. Etenim spectaculi apparatum habet omne *drama*, et mores, et fabulam, et elocutionem, et melodiam, et sententiam similiter. Maximum vero ex his est, eorum quæ aguntur constitutio. Nam tragœdia imitatio est non hominum, sed actionum, et vitæ, et

[p] πράξεων, καὶ βίου, καὶ εὐδαιμονίας [q] καὶ κακοδαιμονίας· καὶ γὰρ ἡ εὐδαιμονία ἐν πράξει ἐστὶ, καὶ τὸ τέλος πρᾶξίς τίς ἐστιν, [r] οὐ ποιότης. Εἰσὶ δὲ κατὰ μὲν τὰ ἤθη ποιοί τινες· κατὰ δὲ τὰς πράξεις, εὐδαίμονες, ἢ τοὐναντίον. [s] Οὐκ οὖν ὅπως τὰ ἤθη [t] μιμήσωνται, πράττουσιν, ἀλλὰ τὰ ἤθη συμπεριλαμβάνουσιν διὰ τὰς πράξεις. Ὥστε τὰ πράγματα καὶ ὁ μῦθος τέλος τῆς τραγῳδίας· τὸ δὲ τέλος μέγιστον ἁπάντων [u] ἐστίν. Ἔτι ἄνευ μὲν πράξεως, οὐκ ἂν γένοιτο τραγῳδία· ἄνευ δὲ ἠθῶν, γένοιτ' ἄν· αἱ γὰρ τῶν νέων τῶν πλείστων ἀήθεις τραγῳδίαι εἰσὶ, καὶ ὅλως ποιηταὶ πολλοὶ τοιοῦτοι· οἷον καὶ τῶν γραφέων Ζεῦξις πρὸς [x] Πολύγνωτον πέπονθεν. Ὁ μὲν γὰρ Πολύγνωτος [y] ἀγαθὸς ἠθογράφος· ἡ δὲ Ζεύξιδος γραφὴ οὐδὲν ἔχει ἦθος. Ἔτι ἐάν τις ἐφεξῆς θῇ

[p] L. PP. 1741. 2040. 2938. πράξεως. [q] Pro καὶ κακοδαιμονίας· καὶ γὰρ ἡ εὐδαιμονία. V. L. G. PP. 1741. 2040. 2938. καὶ ἡ κακοδαιμονία tantum. [r] οὐ ποιότης in P. 2038. desunt. [s] PP. omnes οὔκουν. [t] G. μιμήσονται. [u] Vulg. ἐστίν· ἄνευ. V. L. G. PP. 2040. 2938. ἔτι ἄνευ. Et in G. PP. *iisdem* post μὲν deest γάρ. [x] P. 2938. πολύγνωστον, et mox πολύγνωστος, pro Πολύγνωτος. [y] Vulg. ἀγαθῶν, V. L. ἀγαθός.

felicitatis atque infelicitatis. Etenim felicitas in actione consistit; et finis *hominis* est actio quædam, non qualitas. Sunt autem *homines*, secundum mores quidem, certæ qualitatis; at secundum actiones, felices, vel contra. Itaque *poetæ*, non ut mores imitentur, agunt, "*actionem imitantur*," sed mores complectuntur propter actiones. Quare actiones et fabula *sunt* finis tragœdiæ: at finis est omnium maximum. Præterea sine actione quidem nullo modo fieri posset tragœdia; at sine moribus posset. Nam recentiorum tragœdiæ quam plurimæ sine moribus sunt; et omnino poetæ multi hujusmodi *sunt*; veluti etiam ex pictoribus Zeuxis ad Polygnotum se habet. Nam Polygnotus est bonus descriptor morum; sed Zeuxidis pictura mores habet nullos. Præterea si quis seriatim ponat sermones moratos, et

ῥήσεις ἠθικὰς, καὶ λέξεις καὶ διανοίας [z] εὖ πεποιημένας, [a] οὐ ποιήσει ὃ ἦν τῆς τραγῳδίας ἔργον, ἀλλὰ πολὺ μᾶλλον ἡ καταδεεστέροις τούτοις [b] κεχρημένη τραγῳδία, ἔχουσα δὲ μῦθον καὶ σύστασιν πραγμάτων. Πρὸς δὲ τούτοις τὰ μέγιστα, οἷς ψυχαγωγεῖ ἡ τραγῳδία, τοῦ μύθου μέρη ἐστὶν, αἵ τε περιπέτειαι καὶ ἀναγνωρίσεις. Ἔτι σημεῖον, ὅτι καὶ οἱ ἐγχειροῦντες ποιεῖν, πρότερον δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν, ἢ τὰ πράγματα συνίστασθαι, οἷον καὶ οἱ πρῶτοι ποιηταὶ σχεδὸν ἅπαντες. Ἀρχὴ μὲν οὖν καὶ οἷον ψυχὴ ὁ μῦθος τῆς τραγῳδίας, δεύτερον δὲ τὰ ἤθη. (Παραπλήσιον γάρ ἐστι καὶ ἐπὶ τῆς γραφικῆς· εἰ γάρ [c] τις ἐναλείψειε τοῖς καλλίστοις φαρμάκοις χύδην, οὐκ ἂν ὁμοίως εὐφράνειεν, καὶ λευκογραφήσας εἰκόνα. Ἔστι τε μίμησις πράξεως, καὶ διὰ ταύτην μάλιστα τῶν πραττόντων.) Τρίτον δὲ ἡ διάνοια. Τοῦτο δέ ἐστι τὸ λέγειν δύνασθαι τὰ ἐνόντα

[z] V. L. εὖ τε. [a] οὐ in V. L. PP. 1741. 2040. deest. [b] Vulg. κεχρημένου. PP. *omnes*, κεχρημένη. [c] V. τι. Et vulg. ἀναλείψειε. L. P. 1741. ἵνα λ. G. P. 2040. ἐναλ.

dictiones sententiasque belle confectas, non efficiet quod tragœdiæ erat opus: sed multo magis tragœdia illa, quæ his omnibus parcius usa fabulam tamen habet rerumque compositionem. Adhæc maximæ res, quibus capit animos tragœdia, sunt fabulæ partes, peripetiæ et agnitiones. Præterea id signo *est*, quod etiam qui aggrediuntur poema hujusmodi conscribere, prius circa elocutionem et mores accurati esse possunt, quam actiones constituere: veluti etiam primi poetæ fere omnes. Principium igitur et quasi anima tragœdiæ *est* fabula; proximo autem loco *sunt* mores. (Etenim simile *quiddam* est in re pictoria: siquis namque *tabulam* pigmentis pulcherrimis fusim illeverit, non perinde *spectantem* oblectet, ac si creta imaginem delinearit. Est etiam imitatio actionis, et propter hanc maxime eorum qui agunt.) Tertium vero *est* sententia: id autem est,

καὶ τὰ ἁρμόττοντα· ὅπερ ἐπὶ τῶν λόγων τῆς πολιτικῆς καὶ ῥητορικῆς ἔργον ἐστίν. Οἱ μὲν γὰρ ἀρχαῖοι πολιτικῶς ἐποίουν λέγοντας, οἱ δὲ νῦν ῥητορικῶς. Ἔστι δὲ ἦθος μὲν τὸ τοιοῦτον, ὃ δηλοῖ τὴν προαίρεσιν ὁποῖά τις [d] ἐστίν. Διόπερ οὐκ ἔχουσιν ἦθος ἔνιοι τῶν λόγων, ἐν οἷς οὐκ ἔστι δῆλον, ὅ, τι προαιρεῖται, ἢ φεύγει [e] ὁ λέγων. Διάνοια δὲ, ἐν οἷς ἀποδεικνύουσί τι ὡς ἔστιν, ἢ [f] ὡς οὐκ ἔστιν, ἢ καθόλου τι ἀποφαίνονται. Τέταρτον δὲ, τῶν μὲν λόγων ἡ λέξις. Λέγω δὲ, ὥσπερ πρότερον εἴρηται, λέξιν εἶναι τὴν διὰ τῆς ὀνομασίας ἑρμηνείαν, ὃ καὶ ἐπὶ τῶν ἐμμέτρων, καὶ ἐπὶ τῶν λόγων ἔχει τὴν αὐτὴν δύναμιν. Τῶν δὲ λοιπῶν [g] πέντε, ἡ μελοποιΐα μέγιστον τῶν ἡδυσμάτων. Ἡ δὲ ὄψις, ψυχαγωγικὸν μὲν, ἀτεχνότατον

[d] ἐστίν. Διόπερ οὐκ ἔχ. ἦθ. ἔνιοι τῶν λόγων in V. L. G. PP. *omnibus* desunt. [e] ὁ λέγων in V. L. G. PP. 1741. 2040. desunt; et post φεύγει, in V. L. G. PP. *omn.* sequuntur verba, διόπερ οὐκ ἔχουσιν ἦθος. Deinde in P. 2038. sequuntur ἔνιοι τῶν λόγων. In L. τῶν λόγων. In V. G. PP. 1741. 2040. 2938. τῶν λόγων ἐν οἷς μηδ᾽ ὅλως [G. PP. 2040. 2938. μηδόλως] ἐστὶν ὅττι [V. P. 2938. ὅστις. P. 1741. ὅ τις. P. 2040. ὅτι] προαιρεῖται ἢ φεύγει ὁ λέγων. [f] In L. G. ὡς deest. [g] G. πέμπτον. P. 2040. πέμπτον script. in margine.

dicere posse ea *omnia*, quæ *rei* propria sunt, et convenientia: quod quidem circa orationes politicæ *scientiæ* opus est et rhetoricæ. Nam veteres *poetæ* personas politice loquentes fingebant, hodierni vero rhetorice. Sunt autem mores quidem hujuscemodi quid, quod præelectionem qualis sit manifestat. Quare mores non habent orationes aliquæ, in quibus non manifestum est quod eligit, aut fugit, qui loquitur. Sententia vero *est*, in quibus homines demonstrant quidpiam, aut esse, aut non esse; vel generatim aliquid enunciant. Quartum autem *est* orationum elocutio: elocutionem autem voco, (quemadmodum prius dictum est,) eam, quæ per vocabula fit, interpretationem: quod et in metricis, et in orationibus eandem habet vim. Ex reliquis vero quinque partibus, melopœia maximum *est* condimentum. Spectaculi autem apparatus *est* quidem jucun-

δὲ, καὶ ἥκιστα οἰκεῖον τῆς ποιητικῆς· [b] ἡ γὰρ τῆς τραγῳδίας δύναμις καὶ ἄνευ [i] ἀγῶνος καὶ ὑποκριτῶν ἐστιν· ἔτι δὲ κυριωτέρα περὶ τὴν [k] ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη [l] τῆς τῶν ποιητῶν ἐστι.

ιϛ΄. Διωρισμένων δὲ τούτων, [m] λέγωμεν μετὰ ταῦτα ποίαν τινὰ δεῖ τὴν σύστασιν εἶναι τῶν πραγμάτων, ἐπειδὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον τῆς τραγῳδίας ἐστί. Κεῖται δ᾽ ἡμῖν τὴν τραγῳδίαν τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν, ἐχούσης τι μέγεθος· [n] ἔστι γὰρ ὅλον καὶ μηδὲν ἔχον μέγεθος. Ὅλον δέ ἐστι τὸ ἔχον ἀρχὴν, καὶ [o] μέσον, καὶ τελευτήν. Ἀρχὴ δέ ἐστιν, ὃ αὐτὸ μὲν [p] μὴ ἐξ ἀνάγκης μετ᾽ ἄλλο ἐστί· [q] μετ᾽ ἐκεῖνο δ᾽ ἕτερον πέφυκεν εἶναι ἢ γίνεσθαι. Τελευτὴ δὲ τοὐναντίον, [r] ὃ αὐτὸ μετ᾽ ἄλλο πέφυκεν εἶναι, ἢ ἐξ ἀνάγκης, ἢ ὡς ἐπιτοπολύ·

[b] ἡ γάρ. G, P. 2040. ὡς γάρ. [i] P. 2040. ἀγώνων. [k] G. ἐργασίαν. [l] L. τῇ. [m] L. PP. 2038. 2938. λέγομεν. [n] ἔστι γὰρ ὅλ. κ. μ. ἔχ. μ. in P. 2038. desunt. [o] L. a prima manu, μέσην. Item P. 2038. μέσην mendose, erratum ex hodierna Græcorum lingua. [p] Vulg. ἐξ ἀνάγκης μή. V. L. G. PP. *omnes*, μὴ ἐξ ἀνάγκης. [q] V. μέτ᾽. [r] ὃ in V. L. deest.

dum, sed ex arte non pendens, et minime poeticæ proprium. Tragœdiæ enim vis etiam absque certamine et histrionibus *perfecta* est: præterea vero in spectaculi apparatu, illius qui scenæ instrumenta parat ars plus potest, quam poetarum.

XVI. Definitis autem his, dicamus deinceps qualem esse oportet rerum constitutionem, *seu fabulam;* quandoquidem hæc et prima et maxima est tragœdiæ *pars.* Positum autem nobis est tragœdiam esse perfectæ atque integræ actionis imitationem, quæ magnitudinem habet aliquam: est enim integrum quid etiam nullam habens magnitudinem. Integrum autem est, quod habet principium, et medium, et finem. Principium vero est, quod ipsum quidem non ex necessitate post aliud quid est, post ipsum vero alterum quid natura est, aut fit. Finis autem contra, quod ipsum post aliud natura comparatum est

μετὰ δὲ τοῦτο ἄλλο οὐδέν. Μέσον δὲ, [s] ὃ καὶ αὐτὸ μετ' ἄλλο, καὶ μετ' ἐκεῖνο ἕτερον. Δεῖ ἄρα τοὺς συνεστῶτας εὖ μύθους, μήθ' ὁπόθεν ἔτυχεν ἄρχεσθαι, μήθ' ὅπου ἔτυχε τελευτᾷν, ἀλλὰ κεχρῆσθαι ταῖς εἰρημέναις ἰδέαις. Ἔτι δ' [t] ἐπεὶ τὸ καλὸν, καὶ ζῶον καὶ ἅπαν πρᾶγμα, ὃ συνέστηκεν ἔκ τινων, οὐ μόνον ταῦτα τεταγμένα δεῖ ἔχειν, ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ τυχόν· τὸ γὰρ καλὸν, ἐν μεγέθει καὶ τάξει ἐστί· διὸ οὔτε [u] πάμμικρον ἄν τι γένοιτο καλὸν ζῶον· συγχεῖται γὰρ ἡ θεωρία ἐγγὺς τοῦ ἀναισθήτου χρόνου γινομένη· οὔτε [x] παμμέγεθες· οὐ γὰρ ἅμα ἡ θεωρία γίνεται, ἀλλ' οἴχεται τοῖς θεωροῦσι τὸ ἓν καὶ τὸ ὅλον ἐκ τῆς θεωρίας· οἷον, εἰ μυρίων σταδίων εἴη ζῶον. Ὥστε δεῖ, καθάπερ ἐπὶ τῶν σωμάτων, καὶ ἐπὶ τῶν ζώων, ἔχειν μὲν μέγεθος, τοῦτο δὲ εὐσύνοπ-

[s] Vulg. *καὶ αὐτό*. V. PP. 2038. 2040. *ὃ καὶ αὐτό*. [t] L. *ἐπί*.
[u] V. *πάνυ μικρόν*. PP. 1741. 2040. *πᾶν μικρόν*. [x] V. L. G. PP. *iidem*, *πᾶν μέγεθος*.

esse, aut ex necessitate, aut plerumque; post ipsum autem, aliud nihil. Medium vero, quod et ipsum post aliud *est*, et aliud post ipsum. Oportet igitur bene compositas fabulas, neque undecunque sors tulerit incipere, neque ubilibet terminare; sed formis uti *jam* dictis. Præterea vero, quoniam quod pulchrum *est*, (et animal et aliud quidvis, quod ex *partibus* quibusdam constat,) non solum has *partes* ordinatas habere oportet, verum etiam magnitudinem adesse non trivialem: (nam pulchrum in magnitudine et ordine positum est:) quamobrem neque perexiguum animal esse poterit pulchrum; (siquidem visio, quum prope insensibili tempore fiat, confunditur;) neque permagnum: non enim simul fit visio, sed unius ac integri *idea* spectantibus elabitur ex tali visione; veluti, si decem millium stadiorum esset animal. Propterea oportet, quemadmodum in corporibus, et in animalibus, habere quidem magnitudinem, hanc autem talem esse, quæ facile uno intuitu

του εἶναι· οὕτω καὶ ἐπὶ τῶν μύθων, ἔχειν μὲν μῆκος, τοῦτο δ' εὐμνημόνευτον εἶναι. Τοῦ [y] δὲ μήκους ὅρος, πρὸς μὲν τοὺς ἀγῶνας καὶ τὴν αἴσθησιν, οὐ τῆς τέχνης ἐστίν. Εἰ γὰρ ἔδει ἑκατὸν τραγῳδίας ἀγωνίζεσθαι, πρὸς [z] κλεψύδρας ἂν ἠγωνίζοντο, ὥσπερ ποτὲ καὶ ἄλλοτε [a] φασίν. Ὁ δὲ κατ' αὐτὴν τὴν φύσιν τοῦ πράγματος ὅρος, ἀεὶ μὲν ὁ μείζων, μέχρι τοῦ σύνδηλος εἶναι, καλλίων ἐστὶ κατὰ τὸ μέγεθος. Ὡς δὲ ἁπλῶς διορίσαντας εἰπεῖν, ἐν ὅσῳ μεγέθει κατὰ τὸ εἰκὸς, ἢ τὸ ἀναγκαῖον, ἐφεξῆς γιγνομένων, συμβαίνει εἰς εὐτυχίαν ἐκ δυστυχίας, ἢ ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταβάλλειν, ἱκανὸς ὅρος ἐστὶ τοῦ μεγέθους.

ιζ'. Μῦθος δ' ἐστὶν εἷς, οὐχ ὥσπερ τινὲς οἴονται, ἐὰν περὶ ἕνα ᾖ. Πολλὰ γὰρ καὶ ἄπειρα τῷ γένει συμβαί-

[y] In V. L. deest δέ. Deinde pro ὅρος, πρὸς μὲν τοὺς—V. L. G. ὅρος μὲν πρὸς τ. [z] G. κλεψύδραν. [a] Vulg. φασίν. Ὁ δὲ καθ' αὐτήν. V. φησίν. Ὁ δὲ κατ' αὐτήν.

conspici queat; sic etiam in fabulis, habere quidem longitudinem, hanc autem talem esse, quæ facile teneri possit memoria. Longitudinis autem finitio, respectu quidem habito ad certamina, atque ad *spectantium* sensus, ad artem non pertinet. Si enim centum tragœdias in theatro certare oporteret, ad clepsydras utique certarent; quemadmodum aliquando alias etiam *factum esse* perhibent. Verum finitio hujus rei quoad ipsius naturam *est hæc*; semper quidem, *quo* major *est* *fabula*, dummodo simul perspicua sit, *eo* pulchrior est secundum magnitudinem. Ut autem simpliciter definiendo dicam, in quantacunque magnitudine secundum *id quod* verisimile vel necessarium *est*, rebus ordine progredientibus, accidit in prosperam fortunam ex adversa, vel ex prospera in adversam transire, idoneus *is* terminus est magnitudinis.

XVII. Fabula autem est una, non, ut quidam putant, si circa unam *personam* sit. Multa enim et infinita genere accidunt, ex quo-

νει, ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν. Οὕτω δὲ [b] καὶ πράξεις ἑνὸς πολλαί εἰσιν, ἐξ ὧν μία οὐδεμία γίνεται πρᾶξις. [c] Διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν, ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα, [d] καὶ Θησηΐδα, καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν. Οἴονται γὰρ, ἐπεὶ εἷς ἦν ὁ Ἡρακλῆς, ἕνα καὶ τὸν μῦθον εἶναι προσήκειν. Ὁ δ᾽ Ὅμηρος, ὥσπερ καὶ τὰ ἄλλα διαφέρει, καὶ τοῦτ᾽ ἔοικε καλῶς ἰδεῖν, ἤτοι διὰ τέχνην ἢ διὰ φύσιν. Ὀδύσσειαν γὰρ ποιῶν, οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ συνέβη· οἷον, πληγῆναι μὲν ἐν τῷ Παρνασῷ, μανῆναι δὲ προσποιήσασθαι ἐν [e] τῷ ἀγερμῷ· ὧν οὐδὲν θατέρου γενομένου ἀναγκαῖον ἦν, [f] ἢ εἰκὸς, θάτερον γένεσθαι· [g] ἀλλ᾽ ἃ περὶ μίαν πρᾶξιν, οἵαν [h] λέγομεν τὴν Ὀδύσσειαν, [i] συνέστησαν· ὁμοίως δὲ καὶ τὴν Ἰλιάδα. Χρὴ οὖν, καθάπερ [k] ἐν ταῖς ἄλλαις μιμητι-

[b] G. καὶ αἱ πράξεις. [c] Vulg. Δι᾽ ὅ. V. Διό. [d] In G. deest καί. [e] G. PP. 2040. 2938. τῷ ἀγερμανῷ. [f] ἢ in V. L. deest. [g] ἀλλ᾽ ἅ. V. L. G. ἀλλά. [h] G. P. 2040. λέγοιμεν. [i] V. L. συνέστησεν. P. 2938. συνέστηκεν. [k] ἐν ταῖς. V. καὶ ἐν ταῖς.

rum aliquibus non conficitur aliquod unum. Sic vero et actiones unius *hominis* multæ sunt, ex quibus nulla actio fit una. Quamobrem peccare omnes videntur, quicunque ex poetis Heracleïda, et Theseïda, et ejusmodi poemata fecerunt. Putant enim, quoniam unus erat Hercules, necesse esse, ut etiam fabula de eo una sit. Homerus autem, sicut et in aliis excellit, etiam hoc videtur præclare vidisse, sive propter artem seu propter naturam. Odysseam enim confingens, non confinxit omnia, quæcunque ipsi *Ulyssi* acciderunt; (veluti, eum ab apro accepisse vulnus in Parnasso, et simulasse insaniam in collectione exercitus; ex quibus, altero facto, minime necessarium aut verisimile fuit alterum factum iri;) sed quæ circa unam actionem, qualem Odysseam dicimus, constiterunt: similiter vero etiam Iliadem *confinxit*. Oportet igitur, ut in aliis *artibus*

[l] ἡ μία μίμησις ἑνός ἐστιν, οὕτω καὶ τὸν μῦθον, ὐ πράξεως μίμησίς ἐστι, [n] μιᾶς τε εἶναι, καὶ ταύ- ὅλης, καὶ τὰ μέρη συνεστάναι τῶν πραγμάτων οὕ- ὥστε [o] μετατιθεμένου τινὸς μέρους, ἢ ἀφαιρουμένου, έρεσθαι καὶ κινεῖσθαι τὸ ὅλον. Ὃ γὰρ προσὸν ἢ προσὸν, μηδὲν ποιεῖ ἐπίδηλον, [p] οὐδὲ μόριον τοῦτό

ί. Φανερὸν δὲ ἐκ τῶν εἰρημένων, [q] καὶ ὅτι οὐ τὸ τὰ μενα λέγειν, τοῦτο ποιητοῦ ἔργον ἐστὶν, ἀλλ' οἷα ἂν ιτο, καὶ τὰ δυνατὰ κατὰ τὸ εἰκὸς, ἢ τὸ ἀναγκαῖον. γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς, οὐ τῷ ἢ ἔμμετρα λέγειν ετρα διαφέρουσιν· εἴη γὰρ ἂν τὰ Ἡροδότου εἰς μέτρα ῆναι, καὶ οὐδὲν ἧττον ἂν εἴη ἱστορία τις μετὰ μέτρου, ου μέτρων· ἀλλὰ [s] τούτῳ διαφέρει, τῷ τὸν μὲν τὰ

μία μίμησις. V. ἡ μεταμίμησις. [m] G. ἐπί. [n] μιᾶς τε εἶναι, αὐτης ὅλης. P. 2938. μιᾶς τε εἶναι ὕλης. [o] V. μεταθεμένου. μόριον τοῦτό ἐστι. V. οὐδὲ μ. τοῦ ὅλου ἐστί. L. P. 1741. οὐδὲν ὅ. ἐ. G. PP. 2040. 2938. ὡς οὐδὲν μ. τ. ὅ. ἐ. [q] καί in P.). deest. Deinde, ὅτι οὐ τό. V. ὅτι οὐχ οὕτω. L. ὅτι οὕτω. G. ὅτι [r] L. [marg.] PP. 1741. 2040. 2938. τεθῆναι. [s] L.

atricibus una imitatio is rei est, sic etiam fa- m (quoniam est actio- imitatio) et unius esse, ujus integræ, et partes m agendarum sic con- , ut si qua transposita, ablata fuerit, differatur oveatur totum. Quod , adjunctum vel abla- , nihil facit notabile, ne quidem est.

VIII. Manifestum au- *est* etiam ex iis quæ a sunt, quod non est po- etæ opus *ea* quæ facta sunt dicere, sed qualia fieri potuerint, et possibilia secundum verisimile, vel necessarium. Nam historicus et poeta, non eo, quod hic metro dicat, ille sine metro, *inter se* differunt: licet enim Herodoti opus in metra cogere; neque tamen minus historia erit cum metro, quam sine metris: verum in hoc differunt, quod hic quidem quæ facta sunt dicit; ille autem qualia fieri

γενόμενα λέγειν, τὸν δὲ οἷα ἂν γένοιτο. Διὸ καὶ φιλοσοφώτερον καὶ σπουδαιότερον ποίησις ἱστορίας ἐστίν. Ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον λέγει. Ἔστι δὲ καθόλου μέν, [t] τῷ ποίῳ τὰ [u] ποῖ' ἄττα συμβαίνει λέγειν, ἢ πράττειν, κατὰ τὸ εἰκὸς, ἢ τὸ ἀναγκαῖον, οὗ στοχάζεται ἡ ποίησις, ὀνόματα ἐπιτιθεμένη· [x] τὰ δὲ καθ' ἕκαστον, τί Ἀλκιβιάδης ἔπραξεν, ἢ τί ἔπαθεν. Ἐπὶ μὲν [y] οὖν τῆς κωμῳδίας ἤδη τοῦτο δῆλον γέγονεν· συστήσαντες γὰρ τὸν μῦθον διὰ τῶν εἰκότων, οὕτω τὰ τυχόντα ὀνόματα [z] ἐπιτιθέασι, καὶ οὐχ ὥσπερ οἱ ἰαμβοποιοὶ περὶ [a] τῶν καθ' ἕκαστον ποιοῦσιν. Ἐπὶ δὲ τῆς τραγῳδίας τῶν γενομένων ὀνομάτων ἀντέχονται. Αἴτιον δ', ὅτι πιθανόν ἐστι τὸ δυνατόν. Τὰ μὲν οὖν μὴ γενόμενα, οὔπω πιστεύομεν εἶναι δυνατά· τὰ δὲ γενόμενα, φανερὸν ὅτι δυνατά· οὐ γὰρ ἂν [b] ἐγένετο εἰ ἦν

[t] τὰ καθ' ἕκαστον. In G. deest τά. [u] G. τὰ ποῖα ἄττα. [x] V. τὸν δέ. G. PP. 2040. 2938. τὸ δέ. [y] οὖν in V. L. deest. [z] V. L. G. PP. 1741. 2040. 2938. ὑποτιθέασι. Hactenus P. 2938. Reliqua in isto Codice desiderantur. [a] L. τόν. [b] V. ἐγίνοντο.

potuerint. Quamobrem poesis et magis philosophica et gravior est quam historia. Nam poesis quidem plerumque generalia, historia vero singularia dicit. Est autem generale quidem, quali *homini* qualia quædam dicere vel agere usu venit secundum verisimile, vel necessarium; ad quod collimat poesis, nomina quælibet imponens: singulare vero est, quid Alcibiades fecit, aut quid passus est. Ac in comœdia quidem jam hoc perspicuum factum est: postquam enim fabulam constituerint ex verisimilibus, ita demum quælibet nomina imponunt; et non sicut iambici poetæ de rebus singulorum faciunt. In tragœdia vero nominum quæ re extiterunt tenaces sunt. Causa autem *est*, quia quod possibile est etiam credibile est. Ea igitur quæ facta non sunt, necdum possibilia esse credimus: quæ vero facta sunt, manifestum *est ea* possibilia esse; non enim facta

ἀδύνατα. Οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς τραγῳδίαις, [c] ἐν ἐνίαις μὲν ἓν ἢ δύο τῶν γνωρίμων ἐστὶν ὀνομάτων, τὰ δὲ ἄλλα πεποιημένα· ἐν ἐνίαις δὲ οὐθέν· οἷον ἐν τῷ Ἀγάθωνος [d] Ἄνθει. Ὁμοίως γὰρ ἐν τούτῳ τά τε πράγματα καὶ τὰ ὀνόματα πεποίηται, καὶ οὐδὲν ἧττον εὐφραίνει. [e] Ὥστ' οὐ πάντως εἶναι ζητητέον [f] τῶν παραδεδομένων μύθων, περὶ οὓς αἱ τραγῳδίαι εἰσὶν, ἀντέχεσθαι. Καὶ γὰρ γελοῖον τοῦτο ζητεῖν· ἐπεὶ καὶ τὰ γνώριμα ὀλίγοις γνώριμά ἐστιν, ἀλλ' ὅμως εὐφραίνει πάντας. Δῆλον οὖν ἐκ τούτων, ὅτι τὸν ποιητὴν, μᾶλλον [g] τῶν μύθων εἶναι δεῖ ποιητὴν, ἢ τῶν μέτρων, ὅσῳ ποιητὴς κατὰ τὴν μίμησιν ἐστι, μιμεῖται δὲ τὰς πράξεις. Κἂν ἄρα συμβῇ γενόμενα ποιεῖν, οὐθὲν ἧττον ποιητής ἐστι· τῶν γὰρ γενομένων, ἔνια οὐδὲν κωλύει τοιαῦτα εἶναι, οἷα ἂν εἰκὸς γενέσθαι καὶ δυνατὰ γενέσθαι, καθ' ὃ ἐκεῖνος αὐτῶν

[c] ἐν ante ἐνίαις vulgo omissum P. 2038. habet ex emendatione superlineari. [d] Sic etiam correctum in L. A prima manu fuisse videtur Ἄνθει. [e] L. Ὡς τοῦ π. G. Ὡς τ' οὐ π. [f] τῶν in L. P. 2038. deest. [g] τῶν μύθων. L. τὸν μῦθον.

fuissent, si impossibilia essent. Sed tamen etiam in tragœdiis, quibusdam quidem, unum aut duo adhibentur nota nomina, reliqua vero ficta *sunt*; in quibusdam autem nullum; ut in Agathonis Flore: in hac enim et res et nomina ficta sunt, et nihilo minus oblectat. Adeo non omnino studendum est, ut fabularum traditarum, de quibus tragœdiæ extant, tenaces simus. Etenim ridiculum *est* huic studere: siquidem etiam quæ nota sunt paucis nota sunt, et tamen oblectant omnes. Perspicuum igitur ex his *est*, quod poetam magis fabularum artificem esse oportet quam metrorum, in quantum poeta est secundum imitationem; imitatur autem actiones. Quamvis autem contingat, eum quæ facta sunt confingere, nihilo minus poeta est: eorum enim quæ facta sunt, quædam nihil prohibet talia esse, qualia verisimile *est* facta fuisse, et possibilia fieri; quo nomine ipsorum ille est poeta: Inter

ποιητής ἐστι. Τῶν δὲ ἁπλῶν μύθων καὶ πράξεων, αἱ ἐπεισοδιώδεις εἰσὶ χείρισται. Λέγω δ' ἐπεισοδιώδη μῦθον, ἐν ᾧ τὰ ἐπεισόδια μετ' ἄλληλα οὔτ' εἰκὸς, οὔτ' ἀνάγκη εἶναι. Τοιαῦται δὲ ποιοῦνται, ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτοὺς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς [h] ὑποκριτάς. Ἀγωνίσματα γὰρ ποιοῦντες, καὶ παρὰ τὴν δύναμιν παρατείναντες μῦθον, πολλάκις διαστρέφειν ἀναγκάζονται τὸ ἐφεξῆς.

ιθ'. Ἐπεὶ δὲ οὐ μόνον τελείας ἐστὶ πράξεως ἡ μίμησις, ἀλλὰ καὶ φοβερῶν καὶ ἐλεεινῶν· ταῦτα δὲ γίνεται [i] μάλιστα τοιαῦτα, καὶ μᾶλλον ὅταν γένηται παρὰ τὴν δόξαν δι' ἄλληλα· τὸ γὰρ θαυμαστὸν οὕτως ἕξει μᾶλλον, ἢ εἰ ἀπὸ τοῦ αὐτομάτου καὶ τῆς τύχης· ἐπεὶ καὶ τῶν ἀπὸ [k] τύχης ταῦτα θαυμασιώτατα δοκεῖ, [l] ὅσα ὥσπερ ἐπίτηδες φαίνεται γεγονέναι· [m] οἷον, ὁ ἀνδριὰς [n] ὁ

[h] G. P. 2040. κριτάς. [i] V. L. G. PP. 1741. 2040. καὶ μάλιστα. Deest τοιαῦτα. [k] G. τῆς τύχης. [l] ὅσα ὥσπερ. P. 2040. ὅσαπερ. [m] V. L. PP. *omnes*, οἷον, ὡς ὁ ἀνδρ. [n] ὁ τοῦ Μίτυος—τῷ Μίτυϊ. V. ὁ τοῦ Μ. τοῦ θανάτου τῷ Μ.

simplices autem actiones, et fabulas, episodicæ sunt deterrimæ. Episodicam autem fabulam dico, in qua episodia se invicem consequi, neque verisimile, neque necessarium *est*. Tales autem *fabulæ* conficiuntur, a malis quidem poetis ob ipsorum *inscitiam*; a bonis autem propter histriones. Certamina enim ineuntes, et fabulam ultra quam par est extendentes, sæpenumero distorquere coguntur rerum seriem.

XIX. Quoniam vero imitatio *tragica*, non solum est perfectæ actionis *imitatio*, sed etiam terribilium et miserabilium; hæc autem præcipue fiunt talia, et magis cum præter opinionem per se invicem facta fuerint. Ita enim plus admirationis habebunt, quam si a casu, et fortuna *fierent*: siquidem etiam ex iis quæ fortuna *fiunt*, hæc maxime admirabilia videntur, quæcunque tanquam ex industria apparent fuisse facta: (veluti,

τοῦ Μίτυος ἐν Ἄργει ἀπέκτεινε τὸν αἴτιον τοῦ θανάτου τῷ Μίτυϊ, θεωροῦντι ἐμπεσών· ἔοικε γὰρ τὰ τοιαῦτα οὐκ εἰκῇ [o] γενέσθαι. Ὥστε ἀνάγκη τοὺς τοιούτους εἶναι καλλίους μύθους.

κʹ. [p] Εἰσὶ δὲ τῶν μύθων οἱ μὲν ἁπλοῖ, οἱ δὲ πεπλεγμένοι. Καὶ γὰρ αἱ πράξεις, ὧν μιμήσεις οἱ μῦθοί εἰσιν, ὑπάρχουσιν εὐθὺς οὖσαι τοιαῦται. Λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν, ἧς [q] γινομένης, ὥσπερ ὥρισται, συνεχοῦς καὶ μιᾶς, ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνεται· [r] πεπλεγμένην δὲ, ἐξ ἧς μετὰ ἀναγνωρισμοῦ, ἢ περιπετείας, ἢ ἀμφοῖν, ἡ μετάβασίς ἐστι. Ταῦτα δὲ δεῖ γενέσθαι ἐξ αὐτῆς τῆς συστάσεως τοῦ μύθου, ὥστε ἐκ τῶν προγεγενημένων [s] συμβαίνειν, ἢ ἐξ ἀνάγκης ἢ κατὰ τὸ εἰκὸς, [t] γίγνεσθαι ταῦτα. Διαφέρει γὰρ πολὺ τὸ [u] γίγνεσθαι τάδε διὰ τάδε, ἢ μετὰ τάδε.

[o] Post γενέσθαι G. habet ταῦτα. [p] Εἰσὶ δὲ—πεπλεγμένοι. V. Εἰσὶ δὲ πεπλεγμένοι. [q] Vulg. γενομένης. V. PP. 1741. 2040. γινομένης. [r] V. L. P. 1741. λέξις pro ἐξ ἧς. L. P. 1741. πεπλεγμένη. G. P. 2040. πεπλεγμένη δὲ πρᾶξις. [s] V. συμβαίνει. [t] V. γίνεσθαι. [u] V. P. 2040. τὸ γίγνεσθαι τάδε.

statua Mityis Argis eum qui causa interitus Mityi fuerat interfecit, spectanti incidens: videntur enim talia non temere esse facta:) itaque necesse *est* tales fabulas pulchriores esse.

XX. Ex fabulis autem hæ quidem simplices sunt; illæ autem, implexæ: etenim actiones, (quarum imitationes sunt fabulæ,) supponuntur ab initio existentes tales. Appello autem simplicem quidem actionem, in qua agenda, uti definitum est, continua et una, sine peripetia vel agnitione transitus fit; implexam vero, ex qua cum agnitione, aut peripetia, aut ambabus, est transitus. Has autem *ortas* esse oportet ex ipsa constitutione fabulæ, adeo ut ex anteactis, aut necessario aut secundum verisimile, accidat easdem fieri: multum enim interest, utrum hæc propter hæc fiant, an post hæc *tantum*.

κα΄. Ἔστι δὲ περιπέτεια μὲν ἡ εἰς τὸ ἐναντίον τῶν πραττομένων μεταβολὴ, καθάπερ εἴρηται· καὶ τοῦτο δὲ, ὥσπερ λέγομεν, κατὰ τὸ εἰκὸς, ἢ ἀναγκαῖον. Ὥσπερ ἐν τῷ Οἰδίποδι, ἐλθὼν, ὡς εὐφρανῶν τὸν Οἰδίπουν καὶ ἀπαλλάξων τοῦ πρὸς τὴν μητέρα φόβου, δηλώσας [x]ὅστις ἦν, τοὐναντίον ἐποίησε· καὶ ἐν τῷ [y]Λυγκεῖ, ὁ μὲν ἀγόμενος, ὡς ἀποθανούμενος, ὁ δὲ Δαναὸς [z]ἀκολουθῶν, ὡς ἀποκτενῶν, τὸν μὲν συνέβη ἐκ τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ σωθῆναι.

κβ΄. Ἀναγνώρισις [a]δ' ἐστὶν, ὥσπερ καὶ τοὔνομα σημαίνει, ἐξ ἀγνοίας εἰς γνῶσιν μεταβολὴ, ἢ εἰς φιλίαν, [b]ἢ εἰς ἔχθραν, τῶν πρὸς εὐτυχίαν ἢ δυστυχίαν ὡρισμένων. Καλλίστη δὲ ἀναγνώρισις, ὅταν ἅμα περιπέτειαι γίνωνται, [c]ὡς ἔχει ἐν τῷ Οἰδίποδι. Εἰσὶ μὲν οὖν καὶ ἄλλαι ἀναγνωρίσεις· καὶ γὰρ πρὸς ἄψυχα καὶ τὰ

[x] V. L. ὅς ἦν. [y] V. L. μιμεῖσθαι. [z] ἀκολουθῶν in P. 2040. deest. [a] V. L. omittunt ἐστίν. G. δὲ ὥσπερ. [b] Vulg. ἢ ἔχθραν. G. ἢ εἰς ἔχθραν. [c] Pro ὡς, V. L. οἷον. G. PP. 1741. 2040. οἷον ἔχ. ἢ ἐν τῷ O.

XXI. Est autem peripetia eorum quæ aguntur in contrarium mutatio, ut dictum est; atque hoc quidem, uti dicimus, secundum verisimile, aut necessarium: velut in Œdipo, adveniens nuncius, tanquam lætitiam allaturus Œdipo eumque metu circa matrem liberaturus, simul atque monstravisset quisnam erat, contrarium effecit. Et in Lynceo, cum hic quidem duceretur ut moriturus, Danaus autem sequeretur ut interfecturus, huic quidem accidit ex anteactis mori; illi autem, servari.

XXII. Agnitio autem est, ut etiam nomen significat, ex ignorantia in cognitionem mutatio, aut ad amicitiam tendens, aut ad simultatem, inter eos qui ad felicitatem vel infelicitatem designati sunt. Pulcherrima vero agnitio *est*, cum peripetiæ simul fiunt; sicut *illa* in Œdipo. Ac sunt quidem etiam aliæ agnitiones: etenim circa res inanimatas,

τυχόντα ἐστὶν [d] ὅτε, ὥσπερ εἴρηται, [e] συμβαίνει· καὶ εἰ πέπραγέ τις, ἢ μὴ πέπραγεν, ἐστὶν ἀναγνωρίσαι· ἀλλ' ἡ μάλιστα τοῦ μύθου, καὶ ἡ μάλιστα τῆς πράξεως, [f] ἡ εἰρημένη ἐστίν. Ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει, ἢ φόβον· οἵων πράξεων ἡ τραγῳδία μίμησις ὑπόκειται. Ἔτι δὲ καὶ τὸ [g] ἀτυχεῖν καὶ τὸ εὐτυχεῖν ἐπὶ τῶν τοιούτων συμβήσεται. [h] Ἐπεὶ δὴ ἡ ἀναγνώρισις τινῶν ἐστιν ἀναγνώρισις, ἀναγνωρίσεις, αἱ μέν εἰσι θατέρου πρὸς τὸν ἕτερον μόνον, [i] ὅταν ᾖ δῆλος ἕτερος τίς ἐστιν· ὅτε δ' ἀμφοτέρους δεῖ ἀναγνωρίσαι· οἷον, ἡ μὲν Ἰφιγένεια τῷ Ὀρέστῃ ἀνεγνωρίσθη ἐκ τῆς πέμψεως τῆς ἐπιστολῆς· ἐκείνῳ δὲ πρὸς τὴν Ἰφιγένειαν ἄλλης ἔδει ἀναγνωρίσεως.

κγʹ. Δύο μὲν οὖν τοῦ μύθου μέρη περὶ ταῦτ' ἐστὶ,

[d] In V. G. P. 2040. deest ὅτε. [e] G. P. *idem* συμβαίνειν. [f] L. εἰ μάλιστα. [g] G. ἀτυχεῖν ἢ εὐτυχεῖν. [h] Vulg. Ἔτι δὲ ἀναγνωρίσεις, αἱ μὲν εἰσι. In V. L. G. PP. 1741. 2040. Ἔτι δὲ ἀναγν. et εἰσι desunt: et pro αἱ μὲν legitur in G. ἡ μέν. In P. 2040. αἱ tantum, superscripto ἡ. [i] Vulg. ὅτ' ἄν. G. ὅταν.

atque alia quælibet aliquando, uti dictum est, contingit *agnitio*; et si *quid* fecit quis, aut non fecit, licet agnoscere: sed quæ maxime propria *est* fabulæ et actionis, est ea quæ dicta est. Talis enim agnitio ac peripetia vel misericordiam excitabit, vel metum: qualium actionum tragœdia *esse* imitatio supponitur. Præterea autem infelicitas et felicitas in talibus *agnitionibus* consequetur. Quoniam vero agnitio quorundam est agnitio; agnitiones, hæ quidem sunt alterutrius versus alterum solum; cum alter ille manifestus sit quis sit: aliquando autem ambos oportet *se invicem* agnoscere: velut Iphigenia quidem ab Oreste agnita est ex missione epistolæ, *quam dabat illi ferendam in Græciam*: sed illi, versus Iphigeniam, alia opus fuit agnitione.

XXIII. Duæ igitur fabulæ partes circa hæc sunt, peripetia et agnitio: tertia

περιπέτεια καὶ [k] ἀναγνώρισις· τρίτον δὲ, πάθος. Τούτων δὲ περιπέτεια μὲν καὶ ἀναγνώρισις εἴρηται· πάθος δέ ἐστι πρᾶξις φθαρτικὴ ἢ ὀδυνηρά· οἷον [l] αἵ τε ἐν τῷ φανερῷ θάνατοι, καὶ αἱ περιωδυνίαι, καὶ τρώσεις, καὶ ὅσα τοιαῦτα.

κδʹ. Μέρη δὲ τραγῳδίας, οἷς μὲν ὡς εἴδεσι δεῖ χρῆσθαι, πρότερον εἴπομεν· κατὰ δὲ τὸ ποσὸν, καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, τάδε ἐστί· Πρόλογος, Ἐπεισόδιον, Ἔξοδος, Χορικόν· καὶ τούτου, τὸ μὲν Πάροδος, τὸ δὲ Στάσιμον. Κοινὰ μὲν [m] οὖν ἁπάντων ταῦτα· ἴδια δὲ, τὰ ἀπὸ τῆς σκηνῆς, καὶ Κόμμοι. Ἔστι δὲ Πρόλογος μὲν, μέρος ὅλον τραγῳδίας τὸ πρὸ χοροῦ Παρόδου· Ἐπεισόδιον δὲ, μέρος ὅλον τραγῳδίας, [n] τὸ μεταξὺ ὅλων χορικῶν μελῶν· Ἔξοδος δὲ, μέρος ὅλον τραγῳδίας, [o] μεθ' ὃ οὐκ

[k] ἀναγνώρισις· τρίτον——εἴρηται. In G. ἀναγνώρισις εἴρηται. Desunt cætera. [l] οἵ τε. V. ὅτι. [m] In V. deest οὖν. [n] τὸ μεταξὺ ——τραγῳδίας in G. P. 2040. desunt. [o] P. 2038. μεθ' ὃ et supra lineam γρ. καθ' ὅ.

vero *est* actio-affectus-commovens. Atque ex his quidem, peripetia et agnitio expositæ sunt. Est autem actio-affectus-commovens ea quæ mortem, aut graves dolores affert; veluti, quæ in aperto *fiunt* cædes, et cruciatus, et vulnera, et quæcunque id genus.

XXIV. Partes autem tragœdiæ, quibus tanquam formis utendum est, prius diximus: at secundum quantitatem, et in quas dividitur separatas, hæ sunt: Prologus, Episodium, Exodus, Choricum; et hujus *Chorici*, una quidem pars Parodus, altera vero Stasimon. Atque hæ quidem communes *sunt tragœdiarum* omnium; propriæ vero *quarundam sunt*, e scena *cantus*, et Κόμμοι, "*sive planctus.*" Ac Prologus quidem est pars integra tragœdiæ, quæ præcedit Parodum chori; Episodium autem pars integra tragœdiæ, quæ *jacet* inter cantus totius chori; Exodus vero pars integra tragœdiæ, post quam non est chori cantus. Chorici au-

ἐστι χοροῦ μέλος. Χορικοῦ δὲ, Πάροδος μὲν, ἡ πρώτη λέξις ὅλου χοροῦ· Στάσιμον δὲ, μέλος χοροῦ, τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου. Κόμμος δὲ, θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς. Μέρη [p] μὲν οὖν τραγῳδίας, οἷς μὲν δεῖ χρῆσθαι, πρότερον [q] εἴρηται· κατὰ δὲ τὸ ποσὸν, καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, [r] ταῦτ' ἐστίν.

κέ. [s] Ὧν δὲ δεῖ στοχάζεσθαι, καὶ ἃ δεῖ εὐλαβεῖσθαι συνιστάντας τοὺς μύθους, καὶ πόθεν ἔσται τὸ τῆς τραγῳδίας ἔργον, ἐφεξῆς ἂν εἴη λεκτέον τοῖς νῦν εἰρημένοις. Ἐπειδὴ οὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίστης τραγῳδίας, μὴ ἁπλῆν, ἀλλὰ πεπλεγμένην, καὶ ταύτην [t] φοβερῶν καὶ ἐλεεινῶν εἶναι μιμητικὴν (τοῦτο γὰρ ἴδιον τῆς τοιαύτης μιμήσεώς ἐστι) πρῶτον μὲν δῆλον, ὅτι οὔτε

[p] μὲν οὖν in V. desunt. In L. deest οὖν. [q] V. P. 1741. εἴπαμεν. L. G. εἴπομεν. [r] V. ταῦτα ἐστίν. L. ταῦτα, ταῦτ' ἐστίν. Ad calcem hujus capitis in P. 2040. legitur in margine *atramento rubro* scriptum hoc Scholion: τῶν χορῶν τὰ μέν ἐστι παροδικὰ, ὡς ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν· ὡς τὸ τύριον οἶδμα λιποῦσα· τὰ δὲ στάσιμα, ὡς ὅτε ἵσταται καὶ ἄρχεται τῆς θρηνῳδίας τοῦ δράματος· τὰ δὲ κομμοτικὰ, ὅτε λοιπὸν ἐν θρήνῳ γίνονται. [s] V. L. G. P. 1741. Ὡς. [t] G. φοβ. εἶναι καὶ ἐλ. μιμ.

tem, Parodus quidem, *est* prima oratio chori totius; Stasimon vero, cantus chori, qui *fit* sine anapæsto et trochæo. At Commus *est* communis lamentatio chori et *histrionum* e scena. Partes igitur tragœdiæ quibus, *ut formis*, utendum est, prius sunt expositæ; secundum autem quantitatem, et in quas ipsa dividitur separatas, hæ sunt.

XXV. Quæ vero oportet spectare, et quæ oportet cavere, dum constituimus fabulas; et unde perficietur tragœdiæ opus, necesse est ut dicamus post illa quæ jam dicta sunt. Quoniam igitur constitutionem pulcherrimæ tragœdiæ oportet esse, non simplicem, sed implexam; eamque terribilium et miserabilium imitatricem (hoc enim proprium hujusmodi est imitationis); primum quidem manifestum *est*, quod neque probos viros conspici oportet mutata

τοὺς ἐπιεικεῖς ἄνδρας δεῖ μεταβάλλοντας φαίνεσθαι ἐξ εὐτυχίας εἰς δυστυχίαν (οὐ γὰρ φοβερὸν, οὐδὲ ἐλεεινὸν τοῦτο, ἀλλὰ μιαρόν ἐστιν)· οὔτε τοὺς μοχθηροὺς ἐξ ἀτυχίας εἰς εὐτυχίαν (ἀτραγῳδότατον γὰρ τοῦτό [u] ἐστι· πάντων οὐδὲν γὰρ ἔχει ὧν δεῖ· οὔτε γὰρ φιλάνθρωπον, οὔτε ἐλεεινὸν, οὔτε φοβερόν ἐστιν)· [x] οὐδ' αὖ τὸν σφόδρα πονηρὸν ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταπίπτειν· ([y] τὸ μὲν γὰρ φιλάνθρωπον [z] ἔχοι ἂν ἡ τοιαύτη σύστασις, ἀλλ' οὔτε ἔλεον οὔτε φόβον· ὁ μὲν γὰρ περὶ τὸν ἀνάξιόν ἐστι δυστυχοῦντα, ὁ δὲ περὶ τὸν ὅμοιον· ἔλεος μὲν, περὶ τὸν ἀνάξιον· φόβος δὲ, περὶ τὸν ὅμοιον· ὥστε οὔτε ἐλεεινὸν, οὔτε φοβερὸν [a] ἔσται τὸ συμβαῖνον). Ὁ μεταξὺ ἄρα τούτων λοιπός. Ἔστι δὲ τοιοῦτος, ὁ μήτε ἀρετῇ διαφέρων καὶ δικαιοσύνῃ, μήτε διὰ κακίαν [b] καὶ μοχθηρίαν μεταβάλλων εἰς τὴν δυστυχίαν, ἀλλὰ δι' ἁμαρτίαν τινὰ, τῶν ἐν μεγάλῃ δόξῃ ὄντων

[u] V. ἐστι πάντων. [x] G. οὐδ' αὖ τό. [y] V. τί. [z] L. ἔχει.
[a] Vulgo φαίνεται. V. L. P. 2040. ἔσται. [b] καὶ μοχθηρίαν in G. desunt.

vice transeuntes ex felicitate in infelicitatem (hoc enim non terribile *est* nec miserabile, sed detestabile): neque improbos, ex infelicitate in felicitatem (hoc enim maxime a tragœdia alienum est; quia nihil habet eorum omnium quorum opus est; neque enim humanitatis sensum tangit, nec miserabile est aut terribile): neque rursus valde improbum ex felicitate in infelicitatem transire (nam quod humanitatis sensum tangat habebit forsan talis constitutio; sed neque misericordiam, nec metum; illa enim est circa indignum infeliciter agentem; hic vero, circa similem; misericordia quidem circa indignum, metus autem circa similem; quare nec miserabilis, nec terribilis erit talis eventus). Restat igitur qui inter hos interjectus *est*. Is autem talis est, qui neque virtute eminet, et justitia; neque propter malitiam et improbitatem in infelicitatem transit, sed propter errorem aliquem, ex iis qui in magna

καὶ εὐτυχίᾳ· οἷον, Οἰδίπους καὶ Θυέστης, καὶ οἱ ἐκ τῶν τοιούτων γενῶν ἐπιφανεῖς ἄνδρες.

κϛʹ. Ἀνάγκη ἄρα τὸν καλῶς ἔχοντα μῦθον ἁπλοῦν εἶναι μᾶλλον ἢ διπλοῦν, ὥσπερ τινές φασι, καὶ μεταβάλλειν οὐκ εἰς εὐτυχίαν ἐκ δυστυχίας, ἀλλὰ τοὐναντίον ἐξ εὐτυχίας εἰς δυστυχίαν, μὴ διὰ μοχθηρίαν, ἀλλὰ δι' ἁμαρτίαν μεγάλην, ἢ [c] οἵου εἴρηται, ἢ βελτίονος μᾶλλον ἢ χείρονος. Σημεῖον δὲ καὶ τὸ γιγνόμενον· [d] πρὸ τοῦ μὲν γὰρ οἱ ποιηταὶ τοὺς τυχόντας μύθους ἀπηρίθμουν· νῦν δὲ, περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται· οἷον περὶ Ἀλκμαίωνα, καὶ Οἰδίπουν, καὶ Ὀρέστην, καὶ Μελέαγρον, καὶ Θυέστην, καὶ Τήλεφον, καὶ ὅσοις ἄλλοις συμβέβηκεν ἢ παθεῖν δεινὰ, ἢ ποιῆσαι. Ἡ μὲν οὖν κατὰ τὴν τέχνην καλλίστη τραγῳδία ἐκ ταύτης τῆς συστάσεώς [e] ἐστι. Διὸ καὶ οἱ Εὐριπίδῃ ἐγκαλοῦντες τὸ αὐτὸ ἁμαρτάνουσιν, ὅτι τοῦτο [f] δρᾷ ἐν ταῖς τρα-

[c] L. εἵου. [d] V. L. G. PP. 1741. 2040. πρῶτον μέν. [e] G. ἐστιν.
[f] L. δρᾷν.

gloria et felicitate siti sunt: veluti, Œdipus et Thyestes, et cæteri ex talibus familiis illustres viri.

XXVI. Necesse ergo *est* egregie se habentem fabulam esse duplicem magis quam simplicem, et mutare non in felicitatem ex infelicitate (sicut quidam aiunt) sed contra, ex felicitate in infelicitatem; non propter improbitatem, sed propter errorem magnum; aut talis viri qualem dixi; aut melioris potius quam pejoris. *Hujus* autem indicium *est* etiam id quod *quotidie* fit. Nam ab initio quidem poetæ quaslibet fabulas recensebant; nunc vero circa paucas familias pulcherrimæ componuntur tragœdiæ: velut circa Alcmæonem, et Œdipum, et Orestem, et Meleagrum, et Thyestem, et Telephum, et quibuscunque aliis accidit, aut gravia pati, aut facere. Quæ igitur quoad artem pulcherrima est tragœdia ex hac est constitutione. Quamobrem etiam peccant qui Euripidi id ipsum objiciunt, quod

γῳδίαις, καὶ πολλαὶ αὐτοῦ εἰς δυστυχίαν τελευτῶσι. Τοῦτο γάρ ἐστιν, ὥσπερ εἴρηται, ὀρθόν. Σημεῖον δὲ μέγιστον· ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων [g] τραγικώταται αἱ τοιαῦται φαίνονται, ἂν [h] κατορθῶσι· καὶ ὁ Εὐριπίδης, εἰ καὶ τὰ ἄλλα μὴ εὖ [i] οἰκονομεῖ, ἀλλὰ τραγικώτατός γε τῶν ποιητῶν φαίνεται. [k] Δευτέρα δ', ἡ πρώτη λεγομένη ὑπό τινων, ἐστὶ σύστασις, ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα, καθάπερ ἡ Ὀδύσσεια, καὶ τελευτῶσα ἐξ ἐναντίας τοῖς βελτίοσι καὶ χείροσι· δοκεῖ δὲ εἶναι πρώτη διὰ τὴν τῶν θεάτρων ἀσθένειαν. Ἀκολουθοῦσι γὰρ οἱ ποιηταὶ κατ' εὐχὴν ποιοῦντες τοῖς θεαταῖς. Ἔστι δὲ οὐχ αὕτη ἀπὸ τραγῳδίας ἡδονὴ, ἀλλὰ μᾶλλον τῆς [l] κωμῳδίας οἰκεία· ἐκεῖ γὰρ, ἂν οἱ ἔχθιστοι ὦσιν ἐν τῷ μύθῳ, οἷον, Ὀρέστης καὶ Αἴγισθος, φίλοι γενόμενοι ἐπὶ τελευτῆς ἐξέρχονται, καὶ ἀποθνήσκει οὐδεὶς ὑπ' οὐδενός.

[g] L. τραγικώτατα. [h] V. L. P. 1741. κατορθωθῶσι. [i] G. P. 2040. οἰκοδομεῖ. [k] Vulg. Δευτέρα δὲ, ἡ. V. L. Δ. δὴ, ἡ. G. Δ. δ', ἡ. [l] G. τραγῳδίας.

hoc in tragœdiis facit; et multæ ipsius *tragœdiæ* in infelicitatem desinunt. Hoc enim est, uti diximus, rectum. Indicium autem *hujus* maximum *est*. Nam in scena et in certaminibus, tales *tragœdiæ* maxime tragicæ apparent, si bene constituantur: et Euripides, etiam si alia parum recte disponat, tamen ex poetis maxime tragicus saltem apparet. Secunda vero est, quæ a quibusdam prima dicitur, constitutio, quæ et duplicem habet constitutionem, (sicut *Homeri* Odyssea,) et desinit contrarie melioribus et pejoribus: videtur autem esse prima propter theatrorum imbecillitatem. Nam poetæ spectatoribus obsequuntur ad vota *eorum* poemata conscribentes. Hæc autem non ea est *quæ* a tragœdia *expectatur* voluptas, sed magis comœdiæ propria: ibi enim si qui inimicissimi fuerint in fabula, velut Orestes atque Ægisthus, amici tandem facti e scena exeunt, nec quisquam a quoquam occiditur.

κζ'. Ἔστι μὲν οὖν τὸ φοβερὸν καὶ ἐλεεινὸν ἐκ τῆς ὄψεως γίνεσθαι· ἔστι δὲ καὶ ἐξ αὐτῆς τῆς συστάσεως τῶν πραγμάτων, ὅπερ ἐστὶ πρότερον καὶ ποιητοῦ ἀμείνονος. Δεῖ γὰρ καὶ ἄνευ τοῦ ὁρᾶν οὕτω συνεστάναι τὸν μῦθον, ὥστε τὸν ἀκούοντα τὰ πράγματα γινόμενα [m] καὶ φρίττειν καὶ ἐλεεῖν ἐκ τῶν συμβαινόντων· ἅπερ ἂν πάθοι τις ἀκούων τὸν τοῦ [n] Οἰδίποδος μῦθον. Τὸ δὲ διὰ τῆς ὄψεως τοῦτο παρασκευάζειν [o] ἀτεχνότερον, καὶ χορηγίας δεόμενόν ἐστιν. Οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως, ἀλλὰ τὸ τερατῶδες μόνον παρασκευάζοντες, οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν· οὐ γὰρ πᾶσαν δεῖ ζητεῖν ἡδονὴν ἀπὸ τραγῳδίας, ἀλλὰ τὴν οἰκείαν. Ἐπεὶ δὲ τὴν ἀπὸ [p] ἐλέου καὶ φόβου διὰ μιμήσεως δεῖ ἡδονὴν παρασκευάζειν τὸν ποιητήν, φανερὸν ὡς τοῦτο ἐν τοῖς πράγμασιν ἐμποιητέον. Ποῖα οὖν δεινά, ἢ ποῖα οἰκτρὰ φαίνεται τῶν συμπιπτόν-

[m] καὶ in P. 2038. deest. [n] L. Οἰδίπου. [o] V. ἀτεχνώτερον. [p] Vulg. ἐλέους. G. ἐλέου.

XXVII. Ac terribile quidem et miserabile ex visione fieri licet; licet vero etiam ex ipsa rerum constitutione; quod potius est, et poetæ melioris *opus*. Oportet enim (etiam sublata visione) fabulam sic constitutam esse, ut qui tantum audit res quæ aguntur, et horreat et misereatur ex ipsis casibus: qualia utique patiatur aliquis Œdipi fabulam audiens. Hoc autem per visionem apparere *et* artificii magis expers *est*, et suppeditatione aliena indiget. Qui vero per visionem, non id quod terribile est, sed quod monstrosum tantum apparant, nihil commune habent cum tragœdia; non enim omnem a tragœdia oportet voluptatem expectare, sed quæ ejus propria est. Quoniam vero poetam oportet voluptatem eam quæ ex miseratione metuque oritur per imitationem apparare; manifestum *est*, quod hoc in rebus *ipsis* inserendum *est*. Ex iis igitur quæ accidunt, qualia terribilia, et qualia miserabilia videntur, jam

των, λάβωμεν. Ἀνάγκη δὲ, ἢ [q] φίλων εἶναι πρὸς ἀλλήλους τὰς τοιαύτας πράξεις, ἢ [r] ἐχθρῶν, ἢ [s] μηδετέρων. Ἂν μὲν [t] οὖν ἐχθρὸς ἐχθρὸν [u] ἀποκτείνῃ, οὐδὲν ἐλεεινὸν οὔτε ποιῶν, οὔτε μέλλων [x] δείκνυσι, πλὴν κατ' αὐτὸ τὸ πάθος· οὐδ' [y] ἂν [z] μηδετέρως ἔχοντες. Ὅταν δ' ἐν ταῖς φιλίαις ἐγγένηται τὰ πάθη· οἷον [a] εἰ ἀδελφὸς ἀδελφὸν, ἢ υἱὸς πατέρα, ἢ μήτηρ υἱὸν, ἢ υἱὸς μητέρα [b] ἀποκτείνῃ, ἢ [c] μέλλῃ, ἢ [d] τοιοῦτόν τι ἄλλο [e] δρᾷ, ταῦτα ζητητέον. Τοὺς μὲν οὖν παρειλημμένους μύθους λύειν οὐκ ἔστι· λέγω δὲ, οἷον τὴν Κλυταιμνήστραν [f] ἀποθανοῦσαν ὑπὸ τοῦ Ὀρέστου, καὶ τὴν Ἐριφύλην ὑπὸ τοῦ [g] Ἀλκμαίωνος· αὐτὸν δὲ εὑρίσκειν δεῖ, καὶ τοῖς παραδεδομένοις χρῆσθαι καλῶς. Τὸ δὲ καλῶς τί λέγομεν, [h] εἴπωμεν σαφέστερον. Ἔστι μὲν

[q] L. φίλον. [r] L. ἐχθρούς. [s] L. μηδέτερον. [t] οὖν in G. deest. [u] ἀποκτείνῃ in V. L. et PP. *omnibus* deest. [x] δείκνυσι in V. L. G. PP. 1741. 2040. deest. [y] G. P. 2040. αὖ. [z] Vulg. μηδ' ἑτέρως. G. P. 2040. μηδετέρως. [a] V. L. ἢ. [b] L. ἀποκτείνει. [c] V. L. μέλλει. [d] τ. τ. ἄλλο. V. τ. τ. ἄλλον G. PP. 1741. 2040. τι ἄλλο τοιοῦτον. [e] V. L. P. 1741. δρᾶν. [f] ἀποθανοῦσαν in G. P. 2040. deest. [g] Vulg. Ἀλκμαίονος. G. Ἀλκμαίωνος. [h] V. L. εἴπομεν.

ponamus. Necesse autem *est* hujusmodi actiones, aut amicorum esse *hominum* inter sese, aut inimicorum, aut neutrorum. Si igitur inimicus inimicum occiderit, nihil miserabile, neque dum hoc facit, neque dum facturus est, ostendit, præterquam in ipsa actione-affectus-commovente: neque si se neutro modo habentes. Quando autem inter amicos natæ sint actiones-affectus-commoventes; velut si frater fratrem, aut filius patrem, aut mater filium, aut filius matrem, occidat, vel occidere cogitet, vel tale quid aliud faciat; hæc quærere oportet. Ac receptas quidem fabulas evertere non licet: (dico autem, veluti, Clytæmnestram morientem ab Oreste, et Eriphylen ab Alcmæone:) sed ipsum *novas* invenire oportet, et traditis illis recte uti. Quid autem vocemus recte, apertius exponamus. Licet e-

γὰρ οὕτω γίνεσθαι τὴν πρᾶξιν, ὥσπερ οἱ παλαιοὶ ἐποίουν, εἰδότας καὶ γινώσκοντας· καθάπερ καὶ Εὐριπίδης ἐποίησεν ἀποκτείνουσαν τοὺς παῖδας τὴν Μήδειαν. Ἔστι δὲ πρᾶξαι μὲν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινὸν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους· τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος· ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ· οἷον ὁ [i] Ἀλκμαίων ὁ Ἀστυδάμαντος, ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ Τραυματίᾳ Ὀδυσσεῖ. Ἔτι δὲ τρίτον περὶ ταῦτα, τὸν μέλλοντα ποιεῖν τι τῶν ἀνηκέστων δι' ἄγνοιαν, ἀναγνωρίσαι πρὶν ποιῆσαι. Καὶ παρὰ ταῦτα οὐκ ἔστιν ἄλλως· ἢ γὰρ πρᾶξαι [k] ἀνάγκη, ἢ μή· καὶ εἰδότας, ἢ μὴ εἰδότας. Τούτων δὲ τὸ μὲν γινώσκοντα μελλῆσαι, καὶ μὴ πρᾶξαι, χείριστον· τό, τε γὰρ [l] μιαρὸν ἔχει, καὶ οὐ τραγικόν· ἀπαθὲς γάρ. Διόπερ οὐδεὶς ποιεῖ ὁμοίως, εἰ μὴ ὀλιγάκις· οἷον, ἐν Ἀντιγόνῃ τὸν

[i] V. P. 2038. Ἀλκμαίωνος Ἀστυδάμας. L. G. PP. 1741. 2040. Ἀλκμαίωνος Ἀστυδάμαντος. [k] P. 2038. ἀνείκει. [l] P. 2040. μικρόν.

nim sic actionem fieri, qualiter antiqui eam tradere solebant, a scientibus et cognoscentibus *quid agant;* quemadmodum etiam Euripides occidentem liberos Medeam fecit. Licet autem agere quidem, sed inscientes agere id quod terribile est, postea vero amicitiam agnoscere; ut *fecit* Sophoclis Œdipus; atque hoc quidem extra *ipsum* drama: sed et in ipsa tragœdia; ut Alcmæon Astydamantis, vel Telegonus in Ulysse Vulnerato. Quinetiam circa hæc tertium *est;* eum qui inexpiabile aliquod facinus propter ignorantiam facere cogitet, priusquam faciat agnoscere. Et præter isthæc aliter *fieri* non licet: aut enim facere necesse *est,* aut non *facere;* et scientes, aut non scientes. Ex his autem, pessimum quidem *est* scientem facere cogitare, et non facere: etenim detestabile *quid* habet, et minime tragicum *est,* quia affectus non commovet. Quamobrem nemo similiter facit, nisi admodum raro; velut

Κρέοντα [m] ὁ Αἵμων. Τὰ [n] δὲ πρᾶξαι δεύτερον. Βέλτιον δὲ τὸ ἀγνοοῦντα μὲν πρᾶξαι, πράξαντα δὲ ἀναγνωρίσαι· τό, τε γὰρ [o] μιαρὸν οὐ πρόσεστι, καὶ ἡ ἀναγνώρισις ἐκπληκτικόν. Κράτιστον δὲ τὸ τελευταῖον· λέγω δὲ, οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισε· [p] καὶ ἐν τῇ Ἰφιγενείᾳ ἡ ἀδελφὴ τὸν ἀδελφόν· καὶ ἐν τῇ Ἕλλῃ ὁ υἱὸς τὴν μητέρα ἐκδιδόναι μέλλων, ἀνεγνώρισεν. [q] Διὰ τοῦτο, ὅπερ πάλαι εἴρηται, οὐ περὶ πολλὰ γένη [r] αἱ τραγῳδίαι εἰσί. Ζητοῦντες γὰρ οὐκ ἀπὸ τέχνης, ἀλλ' ἀπὸ τύχης εὗρον τὸ τοιοῦτον παρασκευάζειν ἐν τοῖς μύθοις. Ἀναγκάζονται οὖν [s] ἐπὶ ταύτας τὰς οἰκίας ἀπαντᾷν, ὅσαις τὰ τοιαῦτα συμβέβηκε πάθη. Περὶ μὲν οὖν τῆς τῶν πραγμάτων συστάσεως, καὶ [t] ποιούς τινας εἶναι δεῖ τοὺς μύθους, εἴρηται ἱκανῶς.

[m] G. ὁ Αἵμων. [n] Vulg. γάρ. G. P. 1741. δέ. [o] P. 2040. μικρόν. [p] καὶ ἐν τῇ Ἰ.——ἀνεγνώρισεν in G. P. 2040. desunt. [q] V. L. G. P. 2040. Διὰ γὰρ τοῦτο. [r] αἱ in V. deest. [s] ἐπὶ τ. τ. G. ἐπὶ τὰς τοιαύτας. [t] Vulg. ποίους καὶ τίνας. V. L. P. 2040. ποίους τίνας.

in Antigona Creontem Hæmon *sciens interficere conatur*. Proximum autem *est* facere. Sed melius inscientem quidem facere, cum vero fecerit, agnoscere: quippe id quod detestabile est, non adest, et agnitio animos percellit. Optimum vero *est* postremum: dico autem, velut in Cresphonte Merope cogitat filium interficere, sed non interficit, verum agnovit: et in Iphigenia soror immolatura fratrem; et in Helle filius matrem dediturus, agnovit. Ob hanc causam tragœdiæ (quod pridem dictum est) non circa multas constant familias. *Poetæ* enim *argumenta* quærentes, non ab arte sed a fortuna invenerunt hujusmodi aliquid apparare in fabulis. Itaque conferre se coguntur ad has familias, quibuscunque tales acciderint actiones-affectus-commoventes. Ac de rerum quidem constitutione, et quales fabulas esse oportet, satis dictum est.

καὶ ὅσα τοιαῦτα· καὶ ἔτι μέγεθος, καὶ [h] σμικρότητα. Δῆλον δὲ, ὅτι καὶ ἐν τοῖς πράγμασιν ἀπὸ τῶν αὐτῶν [i] εἰδῶν δεῖ χρῆσθαι, ὅταν ἢ ἐλεεινὰ, ἢ δεινὰ, ἢ μεγάλα, ἢ [k] εἰκότα δέῃ παρασκευάζειν· πλὴν τοσοῦτο διαφέρει, ὅτι τὰ μὲν δεῖ φαίνεσθαι ἄνευ διδασκαλίας, τὰ δὲ ἐν τῷ λόγῳ ὑπὸ τοῦ λέγοντος παρασκευάζεσθαι, καὶ παρὰ τὸν λόγον [l] γίγνεσθαι. Τί γὰρ ἂν εἴη τοῦ λέγοντος ἔργον, εἰ φανοῖτο ἡδέα καὶ μὴ διὰ τὸν λόγον;

λδ΄. Τῶν δὲ περὶ τὴν λέξιν ἓν μέν ἐστιν εἶδος θεωρίας τὰ σχήματα τῆς λέξεως, ἅ ἐστιν εἰδέναι τῆς ὑποκριτικῆς καὶ τοῦ τὴν τοιαύτην ἔχοντος ἀρχιτεκτονικήν· οἷον τί ἐντολὴ, καὶ τί εὐχὴ, καὶ διήγησις, καὶ ἀπειλὴ, καὶ ἐρώτησις, καὶ ἀπόκρισις, καὶ [m] εἴ τι ἄλλο τοιοῦτον. Παρὰ γὰρ τὴν τούτων γνῶσιν, ἢ ἄγνοιαν, οὐδὲν εἰς τὴν ποιητικὴν ἐπιτίμημα φέρεται, ὅτι καὶ ἄξιον σπουδῆς. Τί γὰρ ἂν

[h] V. P. 2040. μικρότητας. L. σμικρότητας. [i] V. P. 1741. εἰδεῶν. G. ἴδεων. P. 2040. ἰδεῶν. [k] V. εἰκότα δή. L. εἰκότα δ' ἤ. G. εἰκότα γ' ἤ. [l] G. γίνεσθαι. [m] V. ἔτι.

alia; ac etiam magnitudinem et parvitatem. Manifestum autem *est*, quod etiam in actionum imitationibus iisdem formis uti oportet; quando vel miserabilia, vel terribilia, vel magna, vel verisimilia apparare opus sit. Quin tantum interest, quod hæc quidem sine docentis opera apparare oportet; illa vero in oratione a dicente comparari, et per orationem fieri. Quid enim dicentis opus esset, si *jam* apparerent quæ oportet, et non per orationem?

XXXIV. Ex iis autem quæ elocutionem spectant, una contemplationis species est de pronunciandi figuris: quas *quidem minute* scire est *artis* histrionicæ, et ejus qui in hoc genere scientiam summam habet: veluti, quid *sit* mandatio, et quid precatio, et narratio, et comminatio, et interrogatio, et responsio; et siquid aliud id genus. Ex harum enim cognitione, vel ignorantia, in poeticam criminatio intentatur nulla, quæ scilicet serio curanda *sit*. Quid enim

τις ὑπολάβοι ἡμαρτῆσθαι ἃ Πρωταγόρας ἐπιτιμᾷ; ὅτι εὔχεσθαι οἰόμενος, ἐπιτάττει εἰπών·

Μῆνιν ἄειδε Θεά.——

Τὸ γὰρ κελεῦσαί (φησι) ποιεῖν τι [n] ἢ μὴ, ἐπίταξίς ἐστι. Διὸ παρείσθω ὡς ἄλλης καὶ οὐ τῆς ποιητικῆς ὂν θεώρημα. Τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ [o] τὰ μέρη· στοιχεῖον, συλλαβὴ, σύνδεσμος, ὄνομα, ῥῆμα, ἄρθρον, πτῶσις, λόγος. Στοιχεῖον μὲν οὖν ἐστι φωνὴ [p] ἀδιαίρετος· οὐ πᾶσα δὲ, ἀλλ' ἐξ ἧς πέφυκε [q] συνετὴ [r] γίνεσθαι φωνή· καὶ γὰρ τῶν θηρίων εἰσὶν ἀδιαίρετοι φωναὶ, ὧν οὐδεμίαν λέγω στοιχεῖον. Ταύτης δὲ μέρη, τό, τε φωνῆεν, καὶ τὸ ἡμίφωνον, καὶ ἄφωνον. Ἔστι δὲ φωνῆεν μὲν, ἄνευ προσβολῆς ἔχον φωνὴν ἀκουστήν· [s] οἷον, τὸ α καὶ ω· ἡμίφωνον δὲ, τὸ μετὰ προσβολῆς ἔχον φωνὴν ἀκουστήν· οἷον, τὸ σ, καὶ τὸ ρ· ἄφωνον δὲ, τὸ μετὰ προσβολῆς

[n] G. ἢ μὴ ποιεῖν. [o] In G. deest τά. [p] V. ἡ ἀδιαίρετος· οὐ πᾶσαι. [q] G. P. 2040. συνθετή. [r] V. γίγνεσθαι. [s] οἷον, τὸ α καὶ ω in V. L. P. 1741. desunt. G. οἷον, τὸ α καὶ τὸ ω.

est, cur *in iis* erratum esse quis putet quæ Protagoras criminatur? quod precari se putans, præcipit *potius*, dicens:

Iram Diva cane.——

Nam jubere *aliquem*, inquit, facere quid, aut non *facere*, præceptio est. Quamobrem omittatur hæc contemplatio, ut ad aliam *artem*, et non ad poeticam pertinens. Elocutionis autem omnis hæ sunt partes; elementum, syllaba, conjunctio, nomen, verbum, articulus, casus, oratio. Ac elementum quidem est vox individua: non autem omnis, sed ex qua fieri potest vox intelligibilis. Etenim belluarum individuæ sunt voces, quarum nullam elementum voco. Hujus vero *elementi* species *sunt* vocale, semivocale, et mutum. Et vocale quidem est, quod sine allisu *ad partes oris*, vocem habet quæ audiri potest: velut, α et ω. Semivocale autem, quod cum allisu vocem habet quæ audiri potest: velut, σ et ρ. Mutum

καθ' αὑτὸ μὲν οὐδεμίαν ἔχον φωνὴν, μετὰ δὲ τῶν ἐχόντων τινὰ φωνὴν γινόμενον ἀκουστόν· οἷον, τὸ γ, καὶ τὸ δ. Ταῦτα δὲ διαφέρει σχήμασί τε τοῦ στόματος, καὶ τόποις, καὶ δασύτητι, καὶ ψιλότητι, καὶ μήκει, καὶ βραχύτητι· [t] ἔτι δὲ καὶ ὀξύτητι, καὶ βαρύτητι, καὶ τῷ μέσῳ· περὶ ὧν καθ' ἕκαστον ἐν τοῖς μετρικοῖς προσήκει θεωρεῖν. Συλλαβὴ δέ ἐστι φωνὴ ἄσημος, συνθετὴ ἐξ ἀφώνου καὶ φωνὴν ἔχοντος· καὶ γὰρ [u] τὸ γρ ἄνευ τοῦ α [x] συλλαβὴ, καὶ μετὰ τοῦ α· οἷον, τὸ [y] γρα. Ἀλλὰ καὶ τούτων θεωρῆσαι τὰς διαφορὰς τῆς μετρικῆς ἐστι. Σύνδεσμος δέ ἐστι φωνὴ ἄσημος, ἣ οὔτε κωλύει, οὔτε ποιεῖ φωνὴν μίαν σημαντικὴν, ἐκ πλειόνων [z] φωνῶν πεφυκυῖαν συντίθεσθαι καὶ ἐπὶ τῶν ἄκρων, καὶ ἐπὶ τοῦ μέσου, ἣν μὴ ἁρμόττῃ ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὑτόν· οἷον, μὲν, ἤτοι, [a] δή· ἢ φωνὴ ἄσημος, [b] ἐκ πλειόνων μὲν φωνῶν μιᾶς, [c] σημαντι-

[t] In V. L. G. deest καί. [u] G. P. 2040. τὸ γ καὶ ρ. [x] Vulg. συλλαβὴ οὐκ ἔστι, ἀλλὰ μετά. G. σ. καὶ μετά. [y] V. γ ρ α. [z] φωνῶν in P. 2040. deest. [a] G. PP. 1741. 2040. δέ. [b] L. ἢ ἐκ πλ. [c] G. PP. *iidem*, σημαντικόν.

vero, quod cum allisu per se quidem, *etiam mutæ adjuncta*, vocem nullam habet, sed cum iis quæ vocem habent, hujusmodi fit ut audiri possit: velut, γ et δ. Hæc autem *inter se* differunt, et figuris oris, et locis, tum densitate et tenuitate; et longitudine, et brevitate: præterea vero, *accentus* etiam acumine, et gravitate; et eo quod medium dicitur: de quibus sigillatim in metricis dispicere convenit. Syllaba autem est vox significationis expers, composita ex muto et vocem habente: * etenim γα sine ρ syllaba *est*, et cum ρ: velut γρα.* Cæterum et horum intueri differentias, metricæ *artis* est. Conjunctio autem est vox significationis expers, quæ neque impedit, nec facit vocem unam significativam, quæ ex pluribus vocibus componi apta est, et in extremitatibus et in medio, etiamsi non conveniat eam in principio orationis ponere per se: velut μὲν, ἤτοι, δέ: vel *est* vox significationis expers,

κῶν δὲ, ποιεῖν πεφυκυῖα [d] μίαν σημαντικὴν φωνήν. Ἄρθρον δέ ἐστι φωνὴ ἄσημος, ἡ λόγου ἀρχὴν, ἢ τέλος, ἢ διορισμὸν δηλοῖ· οἷον, τὸ [e] φημὶ, καὶ τὸ περὶ, καὶ τὰ ἄλλα· [f] ἢ φωνὴ ἄσημος, [g] ἣ οὔτε κωλύει, οὔτε ποιεῖ φωνὴν μίαν σημαντικὴν, ἐκ πλειόνων φωνῶν [h] πεφυκυῖαν [i] συντίθεσθαι, καὶ ἐπὶ τῶν ἄκρων, καὶ ἐπὶ τοῦ μέσου. Ὄνομα δέ ἐστι φωνὴ συνθετὴ, σημαντικὴ ἄνευ χρόνου, ἧς μέρος οὐδέν ἐστι καθ᾽ αὑτὸ [k] σημαντικόν· ἐν γὰρ τοῖς διπλοῖς οὐ χρώμεθα, ὡς καὶ αὐτὸ [l] καθ᾽ αὑτὸ [m] σημαίνει· οἷον, ἐν τῷ Θεοδώρῳ, τὸ, δῶρον, οὐ σημαίνει. Ῥῆμα δὲ φωνὴ συνθετὴ, σημαντικὴ μετὰ χρόνου, ἧς οὐδὲν μέρος σημαίνει καθ᾽ αὑτὸ, ὥσπερ καὶ ἐπὶ τῶν ὀνομάτων· τὸ μὲν γὰρ, ἄνθρωπος, ἢ λευκὸν, οὐ [n] προσσημαίνει τὸ πότε· τὸ

[d] Vulg. μίαν φωνήν. V. L. G. PP. *iidem*, πέφυκεν μ. σημαντικὴν φ. [e] V. L. P. 1741. φ μ ι καὶ τὸ π ε ρ ι. In G. est lacuna: desunt verba φημὶ—ἄλλα. [f] L. Ἡ. et in G. pro ἢ φωνὴ ἄσημος, sequitur post lacunam, ἢ φωνῆεν ἄσημος. [g] L. ἤ. [h] V. πεφυκυῖα. [i] V. L. τίθεσθαι. [k] σημαντικόν·——σημαίνει. P. 2040. σημαντικόν· ἐν γὰρ τοῖς διπλοῖς σημαῖνον. [l] καθ᾽ αὐτὸ in V. desunt. [m] L. G. P. 1741. σημαῖνον. [n] V. L. G. P. 2040. σημαίνει.

quæ ex vocibus quidem pluribus quam una, verum significativis, apta est facere vocem unam significativam. Articulus autem est vox significationis expers, quæ orationis initium, aut finem, aut distinctionem *a cæteris* indicat: * velut, ὁ, dico, et ἡ, et cætera:* vel *est* vox significationis expers, quæ neque impedit, nec facit vocem unam significativam, quæ ex pluribus vocibus componi apta est, et in extremitatibus et in medio.

Nomen autem est vox composita, significativa sine temporis nota, cujus pars nulla est per se significativa. Nam in duplicibus *nominibus* nulla parte utimur, ut etiam ipsa per se significet: veluti, in Theodoro, Doron, nihil significat. Verbum autem *est* vox composita, significativa, cum temporis nota; cujus pars nulla per se significat, quemadmodum etiam in nominibus; nam, homo, vel, album, non adsignificat quando, *seu tempo-*

δὲ, βαδίζει, ἢ βεβάδικε, [o] προσσημαίνει, τὸ μὲν τὸν παρόντα χρόνον, τὸ δὲ τὸν παρεληλυθότα. [p] Πτῶσις δέ ἐστιν ὀνόματος ἢ ῥήματος, ἡ μὲν τὸ κατὰ τὸ, τούτου, ἢ τούτῳ, [q] σημαίνουσα, καὶ ὅσα τοιαῦτα· ἡ δὲ [r] τὸ κατὰ τὸ, ἑνὶ, ἢ πολλοῖς· οἷον, [s] ἄνθρωποι, ἢ ἄνθρωπος· ἡ δὲ κατὰ τὰ [t] ὑποκριτικὰ, οἷον κατ' ἐρώτησιν [u] ἢ ἐπίταξιν· τὸ γὰρ, ἐβάδισεν; ἢ [x] βάδιζε, πτῶσις ῥήματος κατὰ ταῦτα τὰ εἴδη ἐστί. Λόγος δὲ φωνὴ συνθετὴ σημαντικὴ, ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι· οὐ γὰρ ἅπας λόγος ἐκ ῥημάτων καὶ ὀνομάτων σύγκειται· οἷον, ὁ τοῦ ἀνθρώπου ὁρισμός· ἀλλ' ἐνδέχεται ἄνευ ῥημάτων εἶναι λόγον· μέρος μέν τοι ἀεί τι σημαῖνον ἕξει· οἷον, ἐν τῷ, [y] βαδίζει Κλέων, ὁ Κλέων. Εἷς δέ ἐστι λόγος διχῶς· ἢ γὰρ ὁ ἓν σημαί-

[o] L. προσημαίνει. [p] V. L. πτώσεως. [q] V. L. σημαῖνον. [r] In L. G. τὸ deest. [s] G. ἄνθρωπος, ἢ ἄνθρωποι. [t] Vulg. ὑποκριτά. V. L. PP. 1741. 2040. ὑποκριτικά. [u] In L. G. ἢ deest. [x] V. P. 1741. ἐβάδιζεν. L. G. P. 2040. ἐβάδιζε. [y] V. L. βαδίζειν.

ris notam; at, ambulat, vel, ambulavit, adsignificat; alterum quidem tempus præsens, alterum vero præteritum. Casus autem est nominis aut verbi; unus quidem, qui significat id quod hujus *est*, vel huic *datur*, et quæcunque talia; alter vero, qui significat id quod uni, vel multis *tribuitur:* veluti, homines, aut, homo: alius autem *est* casus, secundum ea quæ ad histrionicam pertinent: velut, secundum interrogationem, vel præceptionem: nam, ambulavit? et, ambula, sunt casus verbi, secundum ha species. Oratio autem es vox composita, significativa cujus nonnullæ partes significant aliquid per se. No enim omnis oratio ex verbis et nominibus constat veluti, hominis definitio sed fieri potest ut sine verbis sit oratio; verumtame partem semper quampia significantem habebit; quale in illo, ambulat Cleo, es Cleo. Una autem est oratio duobus modis: aut enim quæ unum significat aut quæ ex pluribus p colligationem *una fit:* ve

ὁ ἐκ πλειόνων συνδέσμῳ· οἷον, ἡ Ἰλιὰς μὲν συν-
εις· ὁ δὲ τοῦ ἀνθρώπου, τῷ ἓν [z] σημαίνειν.

Ὀνόματος δὲ εἴδη, τὸ μὲν ἁπλοῦν· ἁπλοῦν δὲ λέ-
μὴ ἐκ σημαινόντων [a] σύγκειται· οἷον, γῆ· τὸ δὲ,
ιν. Τούτου δὲ τὸ μὲν ἐκ σημαίνοντος καὶ [b] ἀσήμου,
ἐκ σημαινόντων σύγκειται. Εἴη δ᾽ ἂν καὶ τρι-
καὶ τετραπλοῦν [c] ὄνομα καὶ πολλαπλοῦν· οἷον, τὰ
ὶ τῶν Μεγαλιωτῶν, Ἑρμοκαϊκόξανθος. Ἅπαν δὲ
ἐστιν, ἢ κύριον, ἢ γλῶττα, ἢ μεταφορὰ, ἢ κόσμος,
οιημένον, ἢ ἐπεκτεταμένον, ἢ ὑφῃρημένον, ἢ ἐξηλ-
ένον. Λέγω δὲ κύριον μὲν, ᾧ χρῶνται ἕκαστοι,
αν δὲ, ᾧ ἕτεροι· ὥστε φανερὸν, [d] ὅτι καὶ γλῶτταν
ύριον εἶναι δυνατὸν τὸ αὐτὸ, μὴ τοῖς αὐτοῖς δέ· τὸ
[e] Σίγυνον Κυπρίοις μὲν κύριον, ἡμῖν δὲ γλῶττα.

σημαίνει. [a] Vulg. σύγκειται· τὸ δὲ, δ. V. L. G. PP. 2040. σύγκειται, οἷον γῆ· τὸ δὲ, δ. [b] V. ἀσήμου· πλὴν οὐκ ἐν ιατος σημαίνοντος καὶ ἀσήμου. P. 1741. ἀσήμου· π. οὐκ ἐν τῷ ά. [c] Vulg. ὄνομα· οἷον—L. G. P. 2040. ὄνομα καὶ πολλα-ιον. [d] In G. deest ὅτι. [e] L. P. 2038. σύγινον.

ias *est* per colligatio-
ına *oratio*, hominis ve-
initio una est, eo quod
significet.
XV. Nominis autem
s *sunt:* hæc quidem,
ex, quæ constat ex par-
non significantibus:
γῆ: illa autem, du-
Et hujus etiam una
s ex significante et non
icante, altera autem ex
icantibus constat. Pot-
ro esse et triplex, et
uplex nomen, et mul-
: velut, multa * ex grandioribus, ut * Hermocaïcoxanthus. Omne autem nomen est aut proprium, aut glossa, *seu peregrinum*, aut metaphora, aut ornatus, aut factum, aut extensum, aut diminutum, aut immutatum. Voco autem proprium, quo utuntur singuli; glossam autem, *id* quo diversi. Ex quo manifestum *est* fieri posse, ut idem sit et glossa et proprium, non autem iisdem: nam Σίγυνον, *i.e. lanceola*, Cypriis *est* proprium, sed nobis glossa.

Μεταφορὰ δ' ἐστὶν, ὀνόματος ἀλλοτρίου ἐπιφορὰ ἢ [f] ἀπὸ γένους ἐπὶ εἶδος, ἢ ἀπὸ εἴδους ἐπὶ γένος, ἢ ἀπὸ εἴδους ἐπὶ εἶδος, ἢ κατὰ τὸ ἀνάλογον. Λέγω δὲ, ἀπὸ γένους μὲν ἐπὶ εἶδος· οἷον,

[g] Νηῦς δέ μοι ἥδ' ἕστηκε.——

Τὸ γὰρ ὁρμεῖν ἐστιν ἑστᾶναί τι. Ἀπὸ εἴδους δὲ ἐπὶ γένος·

——Ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργε.

Τὸ γὰρ μυρίον πολύ ἐστι, ᾧ νῦν ἀντὶ τοῦ πολλοῦ κέχρηται. Ἀπ' εἴδους δὲ ἐπὶ εἶδος· οἷον,

Χαλκῷ ἀπὸ ψυχὴν [h] ἀρύσας.——

Καὶ,

——Τάμνεν ἀτειρέϊ χαλκῷ.

Ἐνταῦθα γὰρ τὸ μὲν [i] ἀρύσαι, ταμεῖν· τὸ δὲ ταμεῖν,

[f] ἀπὸ γένους ἐπὶ εἶδος, ἢ ἀπὸ εἴδους ἐπὶ γένος, ἢ ἀπὸ εἴδους. V. ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος, ἢ ἀπὸ τοῦ εἴδους. L. G. ἀ. τοῦ γ. ἐ. εἶδος, ἢ ἀπὸ τοῦ εἴ. ἐ. τὸ γ. ἢ ἀ. τοῦ εἴ. [g] G. νηῦς δὲ μέν μοι. [h] Vulg. ἐρύσσας. Τάμνεν ἀτηρέϊ. V. ἀερύσας μετ' ἐμῶν ἀτήρει. L. ἀρύσας μ. ἐ. ἀτηρεῖ. a prima m. corr. ἀτειρεῖ. G. ἀερῦσασκεν τεμών. P. 2040. ἀερύσασκε τεμὼν ἀτειρεῖ. [i] Vulg. ἐρύσαι. V. L. G. P. *idem*, ἀρύσαι.

Metaphora autem est nominis alieni illatio; aut a genere ad speciem, aut a specie ad genus, aut a specie ad speciem, aut ex analogia. Dico autem a genere ad speciem: velut,

Navis vero mihi stetit.——

Nam in portu esse, est stare. A specie vero ad genus: velut,

—*Profecto decies mille bona fecit Ulysses.*

Nam decies mille multum quiddam sunt; eoque *nomine* nunc usus est pro multis. A specie vero ad speciem: velut,

Postquam animam ære abstraxerat.—

Et mox,

—*Duro secabat ære.*

Hic enim, abstrahere, pro secare, et, secare, pro abstrahere, dixit: utrumque enim

ι εἴρηκεν· ἄμφω γὰρ ἀφελεῖν τί ἐστι. Τὸ δὲ
γον λέγω, ὅταν ὁμοίως ἔχῃ τὸ δεύτερον πρὸς τὸ
', καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον. Ἐρεῖ γὰρ ἀντὶ
τέρου τὸ τέταρτον, ἢ ἀντὶ τοῦ τετάρτου τὸ δεύτερον.
νίοτε προστιθέασιν, ἀνθ' οὗ λέγει, πρὸς ὅ ἐστι.
δὲ, οἷον· ὁμοίως ἔχει [l] φιάλη πρὸς Διόνυσον, καὶ
πρὸς Ἄρην· [m] ἐρεῖ τοίνυν καὶ τὴν ἀσπίδα φιάλην
, καὶ τὴν φιάλην ἀσπίδα Διονύσου. [n] Ἔτι ὁμοίως
σπέρα πρὸς ἡμέραν, καὶ γῆρας πρὸς βίον· ἐρεῖ τοί-
ἑσπέραν, γῆρας ἡμέρας, [o] καὶ τὸ γῆρας, ἑσπέραν
ἤ, ὥσπερ Ἐμπεδοκλῆς, δυσμὰς βίου. Ἐνίοις δ'
τιν ὄνομα κείμενον [p] τῶν ἀνάλογον, ἀλλ' οὐδὲν ἧττον
λεχθήσεται· οἷον, τὸ τὸν καρπὸν μὲν ἀφιέναι,

lg. ἐρύσαι. V. P. *idem*, ἀρύσαι. L. ἀρυσόν. [l] V. φιάλην.
——Διονύσου. V. G. PP. 1741. 2040. Ἐρεῖ τοίνυν τὴν φιάλην, Διονύσου· καὶ τὴν ἀσπίδα φιάλην. V. Ἄρηος. G. ἄρεος. PP. ιρεως. [n] Ἔτι——βίον. V. ἢ ὁ. L. G. PP. *iidem*, ἢ ὅ. V. L. *iidem*, γῆρας πρὸς βίον. V. PP. *iidem*, καὶ ἑσπέρα. L. G. καὶ κ. V. L. G. PP. *iidem*, πρὸς ἡμέραν. [o] pro καὶ τὸ γῆρας—— βίου, V. L. G. PP. *iidem* habent ἢ ὥσπερ Ἐμπεδοκλῆς, καὶ τὸ σπέραν βίου, ἢ δυσμὰς βίου. [p] Vulg. τὸ ἀνάλογον. L. G. PP. ῶν ἀνάλογον. P. 2038. τῶν ἀνὰ λόγον.

e quiddam est. Ex
;ia autem dico, quan-
iliter se habeat secun-
ıd primum, ac quar-
d tertium. Dicet e-
ro secundo quartum,
·o quarto secundum.
ɜrdum adjiciunt *illud*,
ıd *relativum* est *id*, pro
'*anslatum* dicit. Dico
quale *est hoc*; simi-
e habet poculum ad
um, et clypeus ad
m: dicet igitur, et
clypeum, poculum Martis; et poculum, clypeum Bacchi. Præterea similiter se habet vespera ad diem, et senectus ad vitam: dicet igitur vesperam senectutem diei, et senectutem, vesperam vitæ; vel, sicut Empedocles, occasum vitæ. Quibusdam vero non est nomen ex analogia respondens, sed nihilominus similiter dicetur. Velut illud, semen jacere, *vocatur* serere; at flam-

σπείρειν· τὸ δὲ τὴν φλόγα ἀπὸ [q] τοῦ ἡλίου, ἀνώνυμον· ἀλλ' ὁμοίως ἔχει τοῦτο πρὸς τὸν ἥλιον, καὶ τὸ σπείρειν πρὸς τὸν καρπόν. Διὸ εἴρηται,

——Σπείρων θεοκτίσταν φλόγα.

Ἔστι δὲ τῷ τρόπῳ τούτῳ τῆς μεταφορᾶς χρῆσθαι καὶ ἄλλως, προσαγορεύσαντα τὸ ἀλλότριον, ἀποφῆσαι τῶν οἰκείων τι· οἷον, εἰ τὴν ἀσπίδα εἴποι φιάλην μὴ [r] Ἄρεως, ἀλλ' ἄοινον. Πεποιημένον δέ ἐστιν, ὃ [s] ὅλως μὴ καλούμενον ὑπό τινων αὐτὸς τίθεται ὁ ποιητής· δοκεῖ γὰρ ἔνια εἶναι τοιαῦτα· οἷον, τὰ κέρατα [t] Ἐρνύτας, καὶ τὸν ἱερέα Ἀρητῆρα. Ἐπεκτεταμένον δέ ἐστιν, ἢ ἀφῃρημένον, τὸ μὲν, ἐὰν φωνήεντι μακροτέρῳ κεχρημένον [u] ᾖ τοῦ οἰκείου, ἢ [x] συλλαβῇ ἐμβεβλημένῃ, τὸ δὲ, ἂν [y] ἀφῃρημένον τι ᾖ αὐτοῦ· ἐπεκτεταμένον μὲν, οἷον, τὸ [z] πόλεως, πόληος, καὶ

[q] V. L. τῆς ἡλίου. [r] G. ἄρεος. [s] V. ὅλου. [t] V. L. G. PP. *omnes*, Ἐρνύγας. [u] Vulg. ἢ τῷ οἰκείῳ. V. L. P. 1741. ἥ. G. P. 2040. ᾖ. V. L. G. PP. *ambo*, τοῦ οἰκείου. [x] L. συλλαβὴ ἐμβεβλημένη. [y] P. 1741. ἀφήρη μέν. Deinde, vulg. ᾖ τι. V. τι. L. G. PP. 1741. 2040. ὄντι· sed post ὄντι, P. 2040. habet ᾖ. Mox, post αὐτοῦ, vocc. in vulg. ἢ ἐμβεβλημένου V. L. G. PP, *iidem* omittunt. [z] L. πόλεος.

mam a sole, *est* sine nomine: verum similiter se habet hoc ad solem, ac serere ad semen. Quamobrem dictum est,

—*Serens flammam a-Deo-conditam.*

Licet autem et aliter uti hoc translationis modo; cum alienum *nomen* tribuerit, abdicere aliquid eorum quæ propria sunt: veluti, si clypeum dicat poculum non Martis, sed sine vino. Factum autem est *nomen* quod, cum a nemine omnino usurpatum sit, ipse ponit poeta. Videntur enim talia esse nonnulla: velut, κέρατα, *i.e. cornua, appellat* Ἐρνύτας, et ἱερέα, *i. e. sacerdotem*, Ἀρητῆρα. Extensum autem est, vel diminutum, illud quidem, si vocalem longiorem habeat, quam quæ sui erat propria, vel syllabam insertam; hoc vero, si ablatum quicquam ab ipso sit. Extensum quidem; velut il-

τὸ [a] Πηλείδου, Πηληϊάδεω· ἀφῃρημένον δὲ, οἷον, τὸ κρῖ, καὶ τὸ δῶ, καὶ,

—Μία γίνεται [b] ἀμφοτέρων ὄψ.

Ἐξηλλαγμένον δέ ἐστιν, ὅταν τοῦ ὀνομαζομένου, τὸ μὲν καταλείπῃ, τὸ δὲ ποιῇ· οἷον τὸ,

Δεξιτερὸν κατὰ μαζόν.—

ἀντὶ τοῦ δεξιόν.

λϛʹ. [c] Ἔτι τῶν ὀνομάτων τὰ μὲν ἄῤῥενα, τὰ δὲ [d] θήλεα, τὰ δὲ μεταξύ· ἄῤῥενα μὲν, ὅσα τελευτᾷ εἰς τὸ ν καὶ ρ, καὶ ὅσα ἐκ [e] τούτων ἀφώνων σύγκειται· ταῦτα δέ ἐστι δύο, τὸ [f] ψ καὶ ξ· θήλεα δὲ, ὅσα ἐκ τῶν φωνηέντων, εἴς τε τὰ ἀεὶ μακρά· οἷον, εἰς [g] η καὶ ω· καὶ τῶν ἐπεκτεινομένων εἰς α. Ὥστε ἴσα συμβαίνει [h] πλήθει εἰς ὅσα τὰ

[a] V. G. PP. *iidem*, Πηλέος. L. Πηλειδέος. P. 2038. Πηλείδου. [b] Post ἀμφοτέρων est in V. P. 1741. οης, in L. ο̄ ῡ ς, in G. P. 2038. lacuna, quam sequitur ἐξηλλ. [c] V. αὐτῶν δὲ ὀνομ. L. τῶν δὲ τῶν ὀνομ. G. αὐτῶν δὲ τῶν ὀνομ. [d] V. θήλαια semper. [e] In V. L. G. PP. 1741. 2040. deest ἀφώνων. Pro τούτων L. G. PP. *iidem*, τούτου. P. 2038. τοῦ τῶν. [f] V. τ καὶ ξ. [g] G. η̃ καὶ ω̃ μέγα. [h] L. πλήθη.

lud, πόλεως, πόληος, et illud, Πηλείδου, Πηληϊάδεω. Subtractum vero; veluti illud, κρῖ, *pro* κριθὴ, *hordeum*, et illud, δῶ, *pro* δῶμα, *domus*, et

—*Ambarum fit eadem* ὄψ, pro ὄψις, facies.

Immutatum autem est, quando vocabuli unam quidem partem relinquat, alteram vero faciat: velut illud, Δεξιτερὸν κατὰ μαζὸν, pro δεξιόν.

XXXVI. Præterea ex nominibus alia masculina *sunt*, alia fœminina, alia neutrius generis. Masculina quidem, quæcunque desinunt in ν et ρ, et σ, et eas literas quæcunque ex σ, et muta constant; eæ vero sunt duæ, ψ et ξ. Fœminina vero, quæcunque in eas ex vocalibus *desinunt*, quæ semper longæ sunt; velut in η, et ω: et quæ producuntur in α. Ex quibus evenit, ut pares numero sint *literæ* in

ἄῤῥενα καὶ τὰ θήλεα· τὸ γὰρ [i] ψ καὶ τὸ ξ [k] ταὐτά ἐστιν. Εἰς δὲ ἄφωνον οὐδὲν ὄνομα τελευτᾷ, οὐδὲ εἰς φωνῆεν βραχύ· εἰς δὲ τὸ ι τρία [l] μόνα, μέλι, [m] κόμμι, πέπερι· εἰς δὲ τὸ υ, πέντε· [n] τὸ πῶϋ, τὸ νάπυ, τὸ γόνυ, τὸ δόρυ, τὸ ἄστυ. Τὰ δὲ μεταξὺ εἰς ταῦτα, καὶ ν καὶ σ.

λζ΄. Λέξεως δὲ ἀρετὴ, σαφῆ καὶ μὴ ταπεινὴν εἶναι. Σαφεστάτη μὲν οὖν ἐστιν ἡ ἐκ τῶν κυρίων ὀνομάτων, ἀλλὰ ταπεινή· παράδειγμα δὲ ἡ Κλεοφῶντος ποίησις, καὶ ἡ Σθενέλου· σεμνὴ δὲ καὶ ἐξαλλάττουσα τὸ ἰδιωτικὸν, ἡ τοῖς ξενικοῖς κεχρημένη. Ξενικὸν δὲ λέγω, γλῶτταν, καὶ μεταφορὰν, καὶ ἐπέκτασιν, καὶ πᾶν τὸ παρὰ τὸ κύριον. Ἀλλ' ἄν τις [o] ἅμα ἅπαντα τὰ τοιαῦτα [p] ποιήσῃ, ἢ αἴνιγμα ἔσται, ἢ βαρβαρισμός· [q] ἂν μὲν οὖν ἐκ μεταφορῶν, αἴνιγμα· ἐὰν δὲ ἐκ γλωττῶν, βαρβαρισ-

[i] V. τ. [k] Vulg. αὐτά ἐστιν. V. L. P. 2038. ταυτά ἐ. [l] V. L. G. μόνον. [m] L. κόμι. [n] τὸ πῶϋ——ἄστυ in V. L. G. PP. *omnibus* desunt. [o] V. L. pro ἅμα habent ἄν, et omittunt τά. G. P. 2040. omittunt ἅμα et τά. P. 1741. omittit τά. [p] L. ποιῆσαι. [q] ἂν μὲν——βαρβαρισμὸς in V. desunt.

quas desinunt masculina et fœminina: nam ψ et ξ, *quoad terminationem*, eædem sunt. In mutam autem nullum nomen desinit, neque in vocalem brevem. At in ι, tria sola; μέλι, κόμμι, πέπερι: et in υ, quinque: πῶϋ, νάπυ, γόνυ, δόρυ, ἄστυ. Neutra autem in has *vocales desinunt*, et *in consonantes* ν et σ.

XXXVII. Elocutionis autem virtus *est*, ut sit perspicua, nec humilis *tamen*. Ac quæ ex propriis nominibus *constat* perspicua maxime est, verum humilis: exemplo *est* Cleophontis poesis, et Stheneli: grandis autem *est*, et vulgare *genus* exsuperans, quæ *vocibus* peregrinis utitur. Peregrinum autem voco, glossam, et translationem, et extensionem, et omne præter proprium. Verum si quis omnia hujusmodi simul ponat, aut ænigma erit, aut barbarismus: siquidem ex translationibus *constet*, ænigma; sin ex glossis, barbarismus.

[r] Αἰνίγματος γὰρ ἰδέα αὕτη ἐστὶ, τὸ, [s] λέγοντα τὰ ρχοντα, ἀδύνατα συνάψαι. Κατὰ μὲν οὖν τὴν τῶν άτων σύνθεσιν, οὐχ οἷόν τε τοῦτο ποιῆσαι· κατὰ δὲ τὴν ιφορὰν, ἐνδέχεται· οἷον,

Ἄνδρ᾽ [t] εἶδον [u] πυρὶ χαλκὸν ἐπ᾽ ἀνέρι κολλήσαντα·

τὰ [x] τοιαῦτα. Ἐκ δὲ τῶν γλωττῶν ὁ βαρβαρισμός· ἀνακέκραταί πως τούτοις. Τὸ μὲν [y] οὖν [z] μὴ ἰδιω-ποιήσει, μηδὲ ταπεινὸν, [a] ἡ γλῶττα, καὶ ἡ μετα-, καὶ ὁ κόσμος, καὶ τἄλλα τὰ εἰρημένα εἴδη· τὸ [b] δὲ ιν, τὴν σαφήνειαν. Οὐκ ἐλάχιστον δὲ μέρος [c] συμ-λονται εἰς τὸ σαφὲς τῆς λέξεως, καὶ μὴ ἰδιωτικὸν, πεκτάσεις, καὶ ἀποκοπαὶ, καὶ ἐξαλλαγαὶ τῶν ὀνο-

[r] V. L. G. Αἰνίγματός τε γάρ. [s] V. pro λέγοντα habet λέγοι τά. ιittit τά. G. omittit αὕτη ἐστί. [t] G. ἴδον. [u] V. PP. 1741. . πυρίχαλκον. [x] V. τοιαῦτα ἐκ τῶν γλωττῶν. Βαρβαρισμὸς δεῖ κρίσθαι πως τούτοις. L. τοιαῦτα. Ἐκ τ. γ. β. δεῖ ἀνακεκρίσθαι G. τοιαῦτα ἐκ τ. γ. Post γλωττῶν est lacuna, sequitur βαρβ. α κεκρίσθαι π. τ. In P. 1741. pro δι᾽ ὃ ἀνακέκραταί πως, legi-ῖ ἄρα κεκρίσθαι πως. Et sic P. 2040. in textu: in marg. vero datur. [y] V. L. G. PP. 1741. 2040. γάρ. [z] Vulg. ἐπὶ ἰδ. *dem*, μὴ ἰδ. P. 2038. μὴ ἐπὶ ἰδ. [a] V. L. G. PP. 1741. 2040. γλ. [b] V. L. omittunt δέ. [c] V. L. συμβάλλεται.

gmatis enim natura hæc ossibilia dicentem, im-bilia commiscere. At-hoc in compositione m ex nominibus *pro-*facere non possumus; n per translationem, li-velut,

um vidi igne æs super vi-um glutinantem:

nilia. Ex glossis vero rbarismus; quamobrem uodammodo admisce-tur. Illud igitur quod non vulgare est, nec humile, efficiet, et glossa, et translatio, et ornatus, reliquæque formæ, quas dixi; perspicuitatem vero, *vocabulum proprium*. Ut autem elocutio perspicua sit, nec vulgaris, haud minimam partem conferunt extensiones nominum, et abscissiones, atque immutationes *a consuetudine sua*. Nam quia alio modo se habet ac pro-

μάτων· διὰ μὲν γὰρ τὸ ἄλλως ἔχειν ἢ ὡς τὸ κύριον, παρὰ τὸ εἴωθος [d] γιγνόμενον, τὸ μὴ ἰδιωτικὸν ποιήσει· διὰ δὲ τὸ κοινωνεῖν τοῦ εἰωθότος, τὸ σαφὲς ἔσται. Ὥστε οὐκ ὀρθῶς ψέγουσιν οἱ [e] ἐπιτιμῶντες τῷ τοιούτῳ τρόπῳ τῆς διαλέκτου, καὶ διακωμῳδοῦντες τὸν ποιητήν· οἷον, Εὐκλείδης ὁ ἀρχαῖος· ὡς ῥᾴδιον ποιεῖν, εἴ τις δώσει ἐκτείνειν ἐφ' ὁπόσον βούλεται· ἰαμβοποιήσας ἐν αὐτῇ τῇ λέξει· [f] οἷον,

Ἠτίχαριν εἶδον [g] Μαραθῶνάδε [h] βαδίζοντα.

[i] Καὶ,

Οὐκ ἂν γεινάμενος τὸν ἐκείνου ἐλλέβορον.

Τὸ μὲν οὖν φαίνεσθαί πως χρώμενον τούτῳ τῷ τρόπῳ, γελοῖον· τὸ δὲ μέτρον, κοινὸν ἁπάντων ἐστὶ τῶν μερῶν· καὶ γὰρ μεταφοραῖς, καὶ γλώτταις, καὶ τοῖς ἄλλοις εἴδεσι

[d] L. G. P. 2040. λεγόμενον. [e] L. ἐπιτιμοῦντες. [f] Vulg. οἷον, Ἤ τι τοι χάριν. V. L. G. P. 1741. omittunt οἷον. V. ἦτε χάριν. L. ἤ τι χ. G. ηττ. sequitur lacuna et proxime verba χάριν ἴδον μεγαθ. P. 1741. ἤτει χάριν. [g] V. L. PP. 1741. 2040. Μαραθῶνα δέ. [h] G. P. 2040. καθίζοντα. [i] Vulg. καὶ, οὐκ ἄν γ' ἐρώμενος κ. τ. ἑ. V. L. G. PP. 1741. 2040. καὶ, οὐκ ἂν γεράμενος τὸν ἐκείνου ἐλλέβορον· τὸ μέν.

prium, cum præter consuetum factum sit, efficiet quod haud vulgare est; sed quia cum eo quod consuetum est commune aliquid habet, aderit perspicuitas. Quare non recte vituperant, qui talem criminantur loquendi modum, et poetam comice perstringunt: velut Euclides ille antiquus; (quasi proclive *esset* versus facere, si quis *vocabula*, quantum libeat, protrahere concedat;) in ipsa oratione *soluta* cavillo facto, *irridendæ hujus licentiæ causa*: velut,

* *Charen vidi versus Marathonem ambulantem.*

Et,

Nondum gustaveram illius helleborum.

Ac certo quidem modo deprehendi hoc genere utentem, ridiculum *est;* sed modus in omnibus æque partibus servandus est: etenim translationibus, et glossis, cæterisque formis indecore

χρώμενος ἀπρεπῶς, καὶ [k] ἐπίτηδες ἐπὶ τὰ γελοῖα, τὸ αὐτὸ ἂν ἀπεργάσαιτο. Τὸ δὲ [l] ἁρμόττον ὅσον διαφέρει ἐπὶ τῶν ἐπῶν [m] θεωρείσθω, εντιθεμένων τῶν ὀνομάτων εἰς τὸ μέτρον· καὶ ἐπὶ τῆς [n] γλώττης, καὶ ἐπὶ τῶν μεταφορῶν, καὶ ἐπὶ τῶν ἄλλων [o] εἰδῶν [p] μετατιθεὶς ἄν τις τὰ κύρια ὀνόματα, κατίδοι ὅτι ἀληθῆ λέγομεν· οἷον, τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος, ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλὸν, τὸ δ' εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε,

> [q] Φαγέδαινα, ἥ μου σάρκας ἐσθίει ποδός.

Ὁ δὲ ἀντὶ τοῦ [r] ἐσθίει, τὸ [s] θοινᾶται μετέθηκε. Καὶ,

> Νῦν δέ μ' [t] ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ [u] ἄκικυς,

[x] εἴ τις λέγει τὰ κύρια μετατιθεὶς,

[k] L. ἐπίτηδες ἔπειτα. G. ἐπίτηδες· ἐπὶ τά. P. 2040. ἐπίτηδες ἐπεὶ τά. [l] V. L. ἁρμόττοντος. [m] G. θεωρείσθω· ἀντιθεμένων. [n] L. G. γλώττης δὲ καί. [o] V. εἰδίων. G. ἰδεῶν. [p] Vulg. μεταθέντες. V. L. PP. 1741. 2040. μετατιθέντος. G. μετατιθέντες. [q] L. G. Φαγάδενα. [r] V. L. ἐσθίειν. [s] P. 2038. θοίνατό με τέθεικε. [t] G. αἰών. [u] V. L. G. PP. *omnes*, ἀειδής. [x] εἴ τις—ἀειδὴς in V. desunt: et pro λέγει, G. λέγοι.

utens, et dedita opera ad risum captandum, idem effecerit. Id autem quod congruit, quantum in versibus præstat, consideretur, nominibus *propriis* metro insertis. Et in glossis, et in translationibus, et in cæteris formis, si quis nomina propria earum vice posuerit, perspiciet nos vera dicere: veluti, cum eundem iambum cum Æschylo Euripides quoque fecerit, et unum solum nomen commutaverit, vice proprii consueti posita glossa, hoc quidem apparet pulchrum, illud autem vile. Nam Æschylus quidem in Philoctete fecit;

> *Phagedæna*, i. e. cancrosum ulcus, *quæ mei carnes edit pedis.*

Alter vero pro, edit, posuit, epulatur. Et *pro illo*,

> * *Nunc autem me, qui est et paucus, et homo nihili, et sine grassante robore,**

si quis dicat propria reponens;

Νῦν δέ μ' [y] ἐὼν [z] μικρός τε καὶ ἀσθενικὸς καὶ ἀειδής·

Καὶ,

[a] Δίφρον ἀεικέλιον καταθεὶς, [b] ὀλίγην τε τράπεζαν,
[c] Δίφρον μοχθηρὸν καταθεὶς, μικράν τε τράπεζαν·

Καὶ τὸ,

[d] Ἠϊόνες βοόωσιν,——
[e] Ἠϊόνες κράζουσιν.——

Ἔτι δὲ [f] Ἀριφράδης τοὺς τραγῳδοὺς ἐκωμῴδει, ὅτι ἃ οὐδεὶς ἂν [g] εἴποι ἐν τῇ διαλέκτῳ, τούτοις χρῶνται· οἷον τὸ, δωμάτων ἄπο, ἀλλὰ μὴ, ἀπὸ δωμάτων· καὶ τὸ, σέθεν· καὶ τὸ, ἐγὼ δέ νιν· καὶ τὸ, Ἀχιλλέως πέρι, ἀλλὰ μὴ, περὶ Ἀχιλλέως, καὶ ὅσα ἄλλα τοιαῦτα. Διὰ γὰρ τὸ μὴ εἶναι ἐν τοῖς κυρίοις, ποιεῖ τὸ μὴ ἰδιωτικὸν ἐν τῇ λέξει ἅπαντα τὰ τοιαῦτα· ἐκεῖνος δὲ τοῦτο ἠγνόει. Ἔστι [h] δὴ

[y] G. αἰών. [z] L. μ. δὲ κ. G. μ. κ. [a] G. PP. 1741. 2040. Δίφροντε ἀεικέλιον. [b] ὀλίγην——καταθεὶς in V. desunt. [c] G. Δίφροντε μικρόν. In margine vero legitur μοχθηρόν. In P. 2038. deest versus Δίφρον μ. usque ad τράπεζαν. [d] V. L. Ἴωνες. [e] V. Ἴωνες. L. ἢ ἴωνες. [f] Vulg. Ἀρειφράδης. L. Ἀρειφράδης, sic a manu secunda. G. Ἀριφράδης. [g] V. L. εἴπῃ. [h] V. δέ.

* *Nunc autem me, qui est et parvus, et deformis, et imbellicus :* *

Et *pro illo,*

Sedile inhonestum cum posuisset, paucamque mensam,
Sedile abjectum cum posuisset, et exilem mensam.

Et *pro illo,*

Littora vociferantur,—
Littora clangunt, seu resonant.—

Præterea vero Ariphrades tragœdos irridebat, quod iis quæ in sermone communi proferret nemo usi sint: quale illud, domibus ab, non, a domibus; et, suimet; et, ego autem ipsummet; et, Achille de, non, de Achille; et quæcunque id genus alia. Hæc enim omnia, quia non sunt inter propria, faciunt id quod non vulgare est in elocutione. Hoc autem ille ignorabat. Est au-

μέγα μὲν τὸ ἑκάστῳ τῶν εἰρημένων πρεπόντως χρῆσθαι, καὶ διπλοῖς ὀνόμασι καὶ γλώτταις· [i] τὸ δὲ μέγιστον, τὸ μεταφορικὸν εἶναι· μόνον γὰρ τοῦτο, οὔτε παρ' ἄλλου ἐστὶ λαβεῖν, εὐφυΐας τε σημεῖόν ἐστι· τὸ γὰρ εὖ [k] μεταφέρειν, τὸ τὸ ὅμοιον θεωρεῖν ἐστι. Τῶν δὲ ὀνομάτων τὰ μὲν διπλᾶ μάλιστα ἁρμόττει τοῖς διθυράμβοις, αἱ δὲ γλῶτται τοῖς ἡρωϊκοῖς, αἱ δὲ μεταφοραὶ τοῖς [l] ἰαμβείοις. Καὶ ἐν μὲν τοῖς ἡρωϊκοῖς, ἅπαντα χρήσιμα τὰ εἰρημένα· ἐν δὲ τοῖς ἰαμβείοις, διὰ τὸ ὅτι μάλιστα λέξιν μιμεῖσθαι, ταῦτα ἁρμόττει τῶν ὀνομάτων, [m] ὅσοις καὶ ἐν λόγοις τις [n] χρήσαιτο. Ἔστι δὲ τὰ τοιαῦτα, τὸ κύριον, καὶ μεταφορὰ, καὶ κόσμος.

λη΄. Περὶ μὲν οὖν τραγῳδίας καὶ τῆς ἐν τῷ πράττειν μιμήσεως ἔστω ἡμῖν ἱκανὰ τὰ εἰρημένα. Περὶ δὲ τῆς διηγηματικῆς καὶ [o] ἐν μέτρῳ μιμητικῆς, ὅτι δεῖ τοὺς μύ-

[i] V. L. G. PP. 1741. 2040. πολὺ δὲ μ. [k] V. L. μεταφέρει. Deinde τὸ ὅμ. V. G. PP. *omnes*, τὸ τὸ ὅμ. [l] P. 2038. ἰάμβοις. [m] V. G. ὅσοις καὶ ἐν ὅσοις λόγοις τις. L. ὅσοις καὶ ἐν ὅσοις λόγοις τι. [n] Vulg. χρήσεται. L. G. PP. 1741. 2040. χρήσαιτο. [o] V. ἐμμέτρῳ.

tem magnum quidem unoquoque eorum quæ dixi congruenter uti, et duplicibus nominibus et glossis: maximum vero, ad translationes esse promptum: solum enim hoc neque ab alio licet sumere, et boni ingenii signum est: scite enim transferre, est simile discernere. Ex nominibus autem duplicia quidem potissimum conveniunt dithyrambis; glossæ autem heroicis; at translationes iambicis. Et in heroicis quidem, omnia quæ dicta sunt usui esse possunt: in iambicis autem, quia sermonem quam maxime imitantur, apta sunt nomina illa, quibus etiam in orationibus aliquis utatur. Talia autem sunt proprium, et translatio, et ornatus.

XXXVIII. Ac de tragœdia quidem, deque ea quæ in agendo sita est imitatione, suffecerint nobis illa quæ dicta sunt. De illa autem quæ per narrationem et metro *solo* imitatur, quod fabulas oportet eodem quo in

θους καθάπερ ἐν ταῖς τραγῳδίαις συνιστάναι δραματικοὺς, καὶ περὶ μίαν πρᾶξιν [p] ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ [q] μέσον καὶ τέλος, ἵν', ὥσπερ ζῶον [r] ἓν ὅλον, [s] ποιῇ τὴν οἰκείαν ἡδονὴν, δῆλον, καὶ [t] μὴ ὁμοίας ἱστορίαις τὰς συνθέσεις εἶναι, ἐν αἷς ἀνάγκη οὐχὶ μιᾶς πράξεως ποιεῖσθαι δήλωσιν, ἀλλ' ἑνὸς χρόνου, ὅσα ἐν τούτῳ συνέβη περὶ ἕνα ἢ πλείους, ὧν ἕκαστον, ὡς ἔτυχεν, ἔχει πρὸς ἄλληλα. Ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους, [u] ἥτ' ἐν Σαλαμῖνι ἐγένετο [x] ναυμαχία, καὶ ἡ ἐν Σικελίᾳ Καρχηδονίων μάχη, οὐδὲν πρὸς τὸ αὐτὸ [y] συντείνουσαι τέλος· οὕτω καὶ ἐν τοῖς ἐφεξῆς χρόνοις ἐνίοτε γίνεται θάτερον μετὰ [z] θατέρου, ἐξ ὧν [a] ἓν οὐδὲν γίνεται τέλος. Σχεδὸν δὲ οἱ πολλοὶ τῶν ποιητῶν τοῦτο δρῶσι. Διὸ, ὥσπερ εἴπομεν ἤδη, καὶ ταύτῃ θεσπέσιος ἂν φανείη Ὅμηρος παρὰ

[p] G. ὅλην τελείαν. [q] L. μέσην. PP. 1741. 2040. μέσα. [r] V. L. ἔνολον. [s] V. ποιεῖ. [t] Vulg. μὴ ὁμοίας ἱστορίας τὰς συνήθεις. V. μηδεμίας ἱστορίας τὰ συνήθει. [u] V. εἴτ'. L. εἶτ'. [x] V. ναύμαχος. [y] G. P. 2040. τείνουσαι. [z] P. 2038. θάτερον. [a] V. ἄν.

tragœdiis modo constituere dramaticas, et circa unam actionem, integram, et perfectam, principium habentem, et medium, et finem; quo, sicut animal unum et integrum, propriam excitet voluptatem, manifestum *est;* et *quod oportet* compositiones fabularum non similes esse historiis, in quibus necesse *est* demonstrationem facere non actionis unius, sed unius temporis, quæcunque in eo circa unum pluresve evenere; quorum singula, ut contigit, ad invicem se habent. Quemadmodum enim per eadem tempora, et in Salamine commissa fuit navalis pugna, et in Sicilia Carthaginiensium pugna, nihil ad eundem tendentes finem; sic etiam in temporibus *quæ* deinceps *se excipiunt,* alterum aliquando fit post alterum, ex quibus unus nullus efficitur finis. Hoc autem fere facit poetarum vulgus. Quamobrem, ut diximus, etiam hac *parte* præ cæteris divinus appa-

τοὺς ἄλλους, [b] τῷ μηδὲ τὸν πόλεμον, καίπερ ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον· λίαν γὰρ [c] ἂν μέγας, καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι· ἢ τῷ μεγέθει μετριάζοντα καταπεπλεγμένον τῇ ποικιλίᾳ. Νῦν δ' ἓν μέρος ἀπολαβὼν, ἐπεισοδίοις κέχρηται αὐτῶν πολλοῖς· οἷον, Νεῶν καταλόγῳ, καὶ ἄλλοις ἐπεισοδίοις, [d] οἷς διαλαμβάνει τὴν ποίησιν. Οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι, καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν πολυμερῆ· οἷον, ὁ τὰ [e] Κύπρια ποιήσας, καὶ τὴν [f] μικρὰν Ἰλιάδα. Τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας, ἢ δύο [g] μόναι· ἐκ δὲ Κυπρίων πολλαί· καὶ [h] ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ· οἷον, Ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, Πτωχεία, [i] Λάκαιναι, Ἰλίου [k] Πέρσις, καὶ Ἀπόπλους, καὶ Σίνων, καὶ [l] Τρῳάδες.

[b] V. L. τὸ μηδέ. G. τὸ μὴ δέ. [c] L. αὖ μέγα. [d] V. L. G. PP. 2038. 2040. δίς. [e] Vulg. Κυπριακά. V. Κυπρικά. [f] V. μικρήν. [g] V. L. μόνας. [h] V. L. G. omittunt ἐκ. [i] P. 2038. Λάκαινα. [k] P. 2038. πέρσις superscripto πόρθησις. [l] V. Πρωϊάδι. L. Τρωΐδες. P. 2038. τρωϊάδες.

rere Homerus debet; quod bellum, quamvis principium haberet ac finem, ne aggressus est quidem totum canere; nimio enim magnum, nec uno intuitu conspicuum futurum erat; vel, si intra magnitudinem mediocrem restringeretur, perplexum varietate. Nunc autem unam partem *pro argumento a cæteris* desumens, multis ipsarum *partium* usus est ut episodiis: velut, Navium catalogo, et aliis episodiis, quibus interpolat poesin. Alii vero circa unum *virum* poemata faciunt, et circa unum tempus, et actionem unam ex multis partibus constantem: velut, qui Cypria confecit, et Iliadem parvam. Idcirco ex Iliade quidem et Odyssea una tragœdia componi potest alterutra, vel ad summum, duæ: ex Cypriis autem multæ; et ex parva Iliade plures quam octo: velut, Armorum judicium, Philoctetes, Neoptolemus, Eurypylus, Mendicatio, Lacænæ, Ilii

λθ΄. Ἔτι δὲ τὰ εἴδη [m] ταὐτὰ δεῖ ἔχειν τὴν ἐποποιΐαν τῇ τραγῳδίᾳ· ἢ γὰρ ἁπλῆν, ἢ πεπλεγμένην, ἢ ἠθικὴν, ἢ παθητικὴν [n] δεῖ εἶναι· καὶ τὰ μέρη, ἔξω μελοποιΐας καὶ ὄψεως, [o] ταὐτά· καὶ γὰρ περιπετειῶν δεῖ καὶ ἀναγνωρίσεων καὶ παθημάτων· ἔτι τὰς διανοίας καὶ τὴν λέξιν ἔχειν καλῶς· οἷς ἅπασιν Ὅμηρος κέχρηται, καὶ πρῶτος καὶ [p] ἱκανῶς. Καὶ γὰρ καὶ τῶν [q] ποιημάτων ἑκάτερον συνέστηκεν· ἡ μὲν Ἰλιὰς, ἁπλοῦν καὶ παθητικόν· ἡ δὲ Ὀδύσσεια, πεπλεγμένον· ἀναγνώρισις γὰρ [r] δι' ὅλου· καὶ ἠθική. Πρὸς [s] δὲ τούτοις λέξει καὶ διανοίᾳ [t] πάντας [u] ὑπερβέβληκε.

μ΄. Διαφέρει δὲ [x] κατά τε [y] τῆς συστάσεως τὸ μῆκος ἡ ἐποποιΐα, καὶ τὸ μέτρον. Τοῦ μὲν οὖν μήκους ὅρος ἱκανὸς [z] ὁ εἰρημένος. Δύνασθαι γὰρ δεῖ συνορᾶσθαι

[m] ταὐτὰ δεῖ in V. desunt. L. δὴ pro δεῖ. [n] δεῖ εἶναι in V. L. G. PP. 1741. 2040. desunt. [o] P. 2040. ταῦτα. [p] V. L. ἱκανός. [q] V. πονυμάτων. L. πονημάτων. [r] Vulg. διόλου. V. δι' ὅλου. [s] V. G. γάρ. [t] V. L. πάντα. [u] G. ὑπερβλέβηκε. [x] Vulg. καὶ κατά. L. κατά. [y] Vulg. συστάσεως. V. L. τῆς συστάσεως. [z] Vulg. εἰρημένος. V. L. G. ὁ εἰρημένος.

Excidium, et Reditus Classis, et Sinon, et Troades.

XXXIX. Præterea species epopœiam habere oportet easdem quas tragœdia: aut enim simplicem, aut implexam, aut moralem, aut patheticam oportet esse: et partes, exceptis melopœia et spectaculi apparatu, easdem: etenim peripetiis *ei* opus est, et agnitionibus, et rebus iis quæ affectus excitant; præterea sententias et elocutionem recte se habere *oportet;* quibus omnibus Homerus usus est, et primus et perfecte satis. Utrumque enim *ejus* poema constitutum est; Ilias quidem, *ut* simplex et patheticum; Odyssea vero, implexum, (agnitio enim per totum *est,*) et morale. Adhæc autem quoad elocutionem et sententiam omnes superavit.

XL. Differt autem *a tragœdia* epopœia, et compositionis longitudine, et metro. Ac longitudinis quidem terminus sufficiens is

τὴν ἀρχὴν καὶ τὸ τέλος. Εἴη δ' ἂν τοῦτο, εἰ τῶν μὲν ἀρχαίων ἐλάττους αἱ συστάσεις εἶεν, [a] πρός τε τὸ [b] πλῆθος τῶν τραγῳδιῶν τῶν εἰς μίαν ἀκρόασιν τιθεμένων παρήκοιεν. Ἔχει δὲ πρὸς τὸ [c] ἐπεκτείνεσθαι τὸ μέγεθος πολύ τι ἡ ἐποποιΐα ἴδιον, διὰ τὸ ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα πραττόμενα [d] πολλὰ μέρη μιμεῖσθαι· ἀλλὰ τὸ ἐπὶ τῆς σκηνῆς καὶ τῶν ὑποκριτῶν μέρος μόνον. Ἐν δὲ τῇ ἐποποιΐᾳ, διὰ τὸ διήγησιν εἶναι, ἐστὶ πολλὰ μέρη ἅμα ποιεῖν περαινόμενα, ὑφ' ὧν οἰκείων ὄντων αὔξεται ὁ τοῦ ποιήματος ὄγκος. Ὥστε τοῦτ' ἔχει τὸ ἀγαθὸν εἰς μεγαλοπρέπειαν, καὶ τὸ μεταβάλλειν τὸν ἀκούοντα, καὶ ἐπεισοδιοῦν ἀνομοίοις ἐπεισοδίοις. Τὸ γὰρ ὅμοιον ταχὺ πληροῦν ἐκπίπτειν ποιεῖ τὰς τραγῳδίας.

μα'. Τὸ δὲ μέτρον τὸ ἡρωϊκὸν ἀπὸ τῆς πείρας [e] ἥρμο-

[a] πρός τι. V. L. πρόσθεν. P. 2040. πρὸς δέ. [b] G. πλῆθος τραγῳδιῶν τῶν εἰρημένων εἰς μίαν. [c] V. ἐπεκτείρεσθαι. [d] Vulg. πολλὰ μιμεῖσθαι. V. L. G. P. 2040. πολλὰ μέρη μιμ. [e] Vulg. ἥρμοσεν. V. L. ἥρμοκεν.

est quem dixi: oportet enim, *uno intuitu*, conspici posse principium et finem. Atque hoc quidem fiet, si compositiones minores quam illæ antiquorum fiant, æquales autem sint numero tragœdiarum ad unam auditionem propositarum. Habet autem ad extendendam magnitudinem epopœia magnum quid de proprio; quoniam in tragœdia quidem non multas quæ simul gerantur imitari licet partes, sed eam duntaxat quæ in scena et per histriones *geritur*. At in epopœia, quia narratio *illa* est, multas partes simul gestas fingere licet: ex quibus congruis existentibus augetur poematis moles. Quare hoc habet commodum ad magnificentiam, et illud, quod auditorem varie disponit, et episodia intertexit dissimilia: quod enim simile est cito satians facit tragœdias explodi.

XLI. Metrum autem heroicum ab experientia pro-

κεν· εἰ γάρ τις ἐν ἄλλῳ τινὶ μέτρῳ [f] διηγηματικὴν μίμησιν ποιοῖτο, ἢ ἐν πολλοῖς, ἀπρεπὲς ἂν φαίνοιτο. Τὸ γὰρ ἡρωϊκὸν στασιμώτατον καὶ ὀγκωδέστατον τῶν μέτρων ἐστὶ (διὸ καὶ γλώττας καὶ μεταφορὰς δέχεται μάλιστα· περιττὴ γὰρ καὶ ἡ διηγηματικὴ [g] μίμησις τῶν ἄλλων)· τὸ δὲ [h] ἰαμβικὸν καὶ τετράμετρον, [i] κινητικά· τὸ μὲν ὀρχηστικὸν, τὸ δὲ πρακτικόν. Ἔτι δὲ ἀτοπώτερον εἰ [k] μιγνύοι τις αὐτὰ, ὥσπερ Χαιρήμων. Διὸ οὐδεὶς μακρὰν σύστασιν ἐν ἄλλῳ πεποίηκεν, ἢ τῷ ἡρώῳ· ἀλλ', ὥσπερ εἴπομεν, αὐτὴ ἡ φύσις διδάσκει τὸ ἁρμόττον [l] αὐτῇ διαιρεῖσθαι.

μβʹ. [m] Ὅμηρος δὲ ἄλλα τε πολλὰ ἄξιος ἐπαινεῖσθαι, καὶ δὴ καὶ ὅτι μόνος τῶν ποιητῶν οὐκ ἀγνοεῖ [n] ὃ δεῖ ποιεῖν αὐτόν. Αὐτὸν γὰρ δεῖ τὸν ποιητὴν ἐλάχιστα λέγειν· οὐ γάρ ἐστι κατὰ ταῦτα μιμητής. Οἱ μὲν οὖν

[f] V. P. 1741. διηγητικήν. [g] V. L. PP. 1741. 2038. κίνησις. [h] G. ἰαμβεῖον. [i] G. P. 2040. κινητικαί. [k] V. μὴ γνύοι. L. μιγνύῃ. [l] Vulg. αὐτό. V. L. G. P. 2040. αὐτῇ. [m] Ὅμηρος——ἐπαινεῖσθαι in G. desunt. [n] P. 2038. ὅτι δεῖ.

batum est *epopœiæ* convenire: nam si quis imitationem, quæ per narrationem fit, in alio aliquo metro faceret, vel in pluribus, indecorum appareret. Quippe heroicum, et stabilissimum inter metra, et magnificentissimum est: (ideo et glossas et translationes maxime admittit; nam et imitatio, quæ per narrationem fit, *ornatu* abundat præ cæteris:) iambicum vero et tetrametrum mobilia *sunt metra:* hoc quidem saltationi, illud autem actioni aptum. Quinetiam *id* multo absurdius *est*, si quis *metra* plura commisceat, ut Chæremo. Itaque prolixiorem compositionem nemo in alio *unquam metro* fecit quam heroo: sed, ut diximus, natura ipsa poematis docet *metrum* ipsi congruens assignare.

XLII. Homerus autem cum in aliis multis dignus *est* laudari, tum maxime quod solus inter poetas non ignorat quid ipsum facere oportet. Ipsum enim poetam *quam* paucissima dicere oportet; siquidem secundum hæc non est imitator. Igitur alii *poetæ*, ipsi

ἄλλοι, αὐτοὶ μὲν [o] δι' ὅλου ἀγωνίζονται, μιμοῦνται δὲ ὀλίγα καὶ ὀλιγάκις· ὁ δὲ, ὀλίγα φροιμιασάμενος, εὐθὺς εἰσάγει ἄνδρα ἢ γυναῖκα, ἢ ἄλλο τι ἦθος, καὶ [p] οὐδὲν ἄηθες, ἀλλ' [q] ἔχον ἦθος.

μγ'. Δεῖ μὲν οὖν ἐν ταῖς τραγῳδίαις ποιεῖν τὸ θαυμαστόν· μᾶλλον δ' ἐνδέχεται ἐν τῇ ἐποποιίᾳ τὸ [r] ἄλογον, δι' ὃ συμβαίνει μάλιστα τὸ θαυμαστὸν, διὰ τὸ μὴ ὁρᾷν εἰς τὸν πράττοντα. [s] Ἐπεὶ τὰ περὶ τὴν Ἕκτορος δίωξιν ἐπὶ σκηνῆς ὄντα, γελοῖα ἂν [t] φανείη, οἱ μὲν ἑστῶτες καὶ οὐ διώκοντες, ὁ δὲ ἀνανεύων· ἐν δὲ τοῖς ἔπεσι [u] λανθάνει. Τὸ δὲ θαυμαστὸν, ἡδύ· σημεῖον δέ· πάντες γὰρ [x] προστιθέντες ἀπαγγέλλουσιν, ὡς χαριζόμενοι.

μδ'. Δεδίδαχε δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους [y] ψευδῆ λέγειν ὡς δεῖ. Ἔστι δὲ τοῦτο παραλογισμός·

[o] V. διόλου. [p] V. οὐδένα ἤθει. L. P. 1741. οὐδένα ἤθη. P. 2040. οὐδὲν ἀήθη. [q] Vulg. ἔχοντα ἦθος. V. L. G. PP. 1741. 2040. ἔχοντα ἤθη. [r] G. ἀνάλογον. [s] Vulg. Ἔπειτα. G. P. 2040. Ἔπει. [t] V. L. φανοίη. [u] V. λανθάνειν. L. λαμβάνειν. [x] G. P. 2038. προτιθέντες. [y] V. L. ψευδεῖ.

quidem per totum *poema* laborant, pauca vero imitantur, et raro: ille autem *contra*, cum paucula præfatus sit, extemplo inducit virum aut mulierem, aut aliud quid moribus præditum, neque omnino quicquam morum expers, sed habens mores.

XLIII. Ac in tragœdiis quidem id quod admirabile est effingere oportet: sed in epopœia magis licet id quod præter rationem est, per quod maxime contigit *ipsum* admirabile, quia non intuemur agentem. Quandoquidem illa circa Hectoris insectationem, si in scena fierent, ridicula viderentur; hi quidem stantes, et non insequentes, ille autem abnuens; sed in *Homeri* versibus latent. Admirabile autem *omne* jucundum *est*. Indicium vero *est*, quod omnes adjicientes *aliquid rem gestam* narrant, quasi gratum *quid auditori* facientes.

XLIV. Maxime autem etiam alios docuit Homerus mendacia quo modo oportet dicere. Est autem hoc pa-

οἴονται γὰρ ἄνθρωποι, ὅταν [z] τουδὶ ὄντος τοδὶ ᾖ, ἢ γινομένου γίνηται, εἰ τὸ ὕστερόν ἐστι, καὶ τὸ πρότερον εἶναι ἢ γίνεσθαι. Τοῦτο δέ ἐστι ψεῦδος. [a] Διὸ δὴ, ἂν τὸ πρῶτον ψεῦδος, [b] ἄλλου δὲ τούτου ὄντος, ἀνάγκη εἶναι ἢ γενέσθαι ἢ [c] προσθεῖναι· διὰ γὰρ [d] τὸ εἰδέναι τοῦτο ἀληθὲς ὂν, παραλογίζεται ἡμῶν ἡ ψυχὴ καὶ τὸ πρῶτον, ὡς ὄν. Προαιρεῖσθαί [e] τε ἀδύνατα καὶ εἰκότα, μᾶλλον ἢ δυνατὰ [f] καὶ ἀπίθανα· τούς τε λόγους μὴ [g] συνίστασθαι ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιστα μὲν [h] μηδὲν ἔχειν ἄλογον· εἰ δὲ μὴ, ἔξω τοῦ μυθεύματος· ὥσπερ Οἰδίπους τὸ μὴ εἰδέναι πῶς [i] ὁ Λάϊος ἀπέθανεν· ἀλλὰ μὴ ἐν τῷ δράματι,

[z] Vulg. τουδὶ ὄντος ἢ γινομένου τοδὶ γίνεται, εἰ τὸ ὕστ. V. τοῦ διόντος τὸ δι' ἣν γινομένου γίνηται. ἢ τὸ ὕστ. L. τουδὶ ὄντος τοδὲ ἢ γ. τοδὶ γίνηται, ἢ τὸ ὕστ. G. P. 2040. τ. ὄ. τοδὶ ᾖ· ἢ γ. γίνηται· εἰ τὸ ὕστ. Pro γίνεται etiam P. 2038. γίνηται. [a] Vulg. Δι' ὅ. V. Διό. [b] PP. 1741. 2040. ἀλλ' οὐ. [c] V. προσθῆναι. [d] V. τὸ τοῦτο εἰδέναι. L. G. τοῦτο εἰδ. Deinde τοῦτο in V. L. G. deest. Deinde ἀληθὲς ὂν, παραλογ. ἡμ. ἡ ψυχὴ καὶ τὸ πρ. V. ἀληθὲς ὢν παραλλογίζεται ἡμῶν ἡ ψυχή· καὶ τὸ πρ. Deinde post πρῶτον, ὡς ὂν, in V. L. G. P. 2040. leguntur voces, παράδειγμα δὲ τοῦτο ἐκ τῶν νίπτρων. [e] V. τε δ' ἀδύν. PP. 1741. 2040. τε δεῖ ἀδύν. Deinde καὶ V. L. PP. *iidem* omittunt. [f] Hoc etiam καὶ V. L. G. PP. *iidem* omittunt. [g] V. L. ἐπίστασθαι. L. συνίστασθαι in marg. [h] L. tantum ἔχει. P. 2038. μὴ ἔχειν. [i] V. L. G. P. 2040. Ἰόλαος. PP. 1741. 2038. ὁ Ἰόλαος.

ralogismus. Arbitrantur enim homines, cum hoc existente vel facto illud sit vel fiat, si posterius est, etiam primum esse, vel fieri. Hoc autem est deductio falsa. Quandoquidem, etsi primum falsum *sit*, tamen, posteriore existente, necessario existere vel factum esse creditur: quod enim hoc vere esse cognovimus, falso ratiocinatur animus noster etiam primum illud vere esse. Sed et illa potius quæ impossibilia, et verisimilia sunt, eligere *oportet*, quam quæ possibilia, et incredibilia: et fabularum argumenta non componere ex partibus rationi non consentaneis, sed maxime quidem nihil habere rationi non consentaneum; sin minus *hoc detur*, *saltem* extra fabulam *habere*: (velut *illud*, quod Œdipus nesciat quomodo Laius diem obiisset:)

ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ τὰ Πύθια ἀπαγγέλλοντες, ἢ ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ [k]Τεγέας εἰς τὴν Μυσίαν ἥκων. [l]Ὥστε τὸ λέγειν ὅτι [m]ἀνῄρητο ἂν ὁ μῦθος, γελοῖον· ἐξ ἀρχῆς γὰρ οὐ δεῖ συνίστασθαι τοιούτους· ἂν δὲ θῇ, καὶ φαίνηται [n]εὐλογώτερον, [o]ἐνδέχεσθαι [p]καὶ ἄτοπον· ἐπεὶ καὶ τὰ ἐν Ὀδυσσείᾳ ἄλογα, τὰ περὶ τὴν ἔκθεσιν, ὡς οὐκ ἂν ἦν ἀνεκτὰ, δῆλον ἂν γένοιτο, εἰ αὐτὰ φαῦλος ποιητὴς ποιήσει· νῦν δὲ τοῖς ἄλλοις ἀγαθοῖς ὁ ποιητὴς [q]ἀφανίζει ἡδύνων τὸ ἄτοπον.

με΄. Τῇ δὲ λέξει δεῖ διαπονεῖν ἐν τοῖς ἀργοῖς μέρεσι, καὶ μήτε ἠθικοῖς, μήτε διανοητικοῖς· ἀποκρύπτει γὰρ πάλιν ἡ λίαν λαμπρὰ λέξις [r]τὰ ἤθη, καὶ τὰς διανοίας.

μϛ΄. Περὶ δὲ προβλημάτων καὶ λύσεων, ἐκ πόσων τε

[k] G. Τεγαίας. [l] L. Ὅστε. [m] L. ἀνήρειτο. [n] L. G. εὐλογοτέρως. PP. 1741. 2040. εὐλογωτέρως. [o] L. [in margine] G. P. 2040. ἀποδέχεσθαι. [p] P. 2038. τὸ ἄτοπον. [q] Vulg. ἐμφανίζει ἡδύνων τό. V. ἀφανίζειν ἡδύναντο. PP. 1741. 2040. ἀφανίζει ἡδύνων τό. [r] V. τάδε. L. P. 1741. τὰ δέ. G. P. 2040. τά τε.

sed non in *ipso* dramate, sicut in Electra, ii qui *certamina* Pythia narrant, aut in Mysis, is qui mutus ex Tegea in Mysiam pervenit. Itaque dicere, quod, *nisi tale* ἄλογον *finxissent*, interiisset fabula, ridiculum *est:* ab initio enim non oportet constituere tales: sin constituat *quis*, et rationi consentaneum magis videatur, admittere etiam aliquid absurdi; quoniam et ea in Odyssea rationi non consentanea, de *Ulyssis in Ithacæ littus* expositione, quod ne tolerabilia quidem forent, manifestum fieret, si ea malus poeta finxerit: nunc autem per alias virtutes poeta e conspectu tollit jucundum faciendo id quod absurdum est.

XLV. Elocutionem autem elaborare maximopere oportet in partibus minus activis, et quæ neque mores, nec sententias exhibent. Obscurat enim rursus elocutio nimis splendida et mores, et sententias.

XLVI. De problematibus autem et *eorum* solutio-

